([1]) Τὸ ἀρχαιότατον κείμενον τοῦ Εὐριπίδου (P. Hibeh 24 τοῦ 240 π. Χ., ἐκ τῆς ***Ἰφιγενείας*** τῆς ἐν Ταύροις εἶνε ἄριστον. Ἀλλὰ τὸ τῆς ***Μηδείας*** ἀπόσπασμα (P. Weil τοῦ Β' αἰῶνος π. Χ.) εἶνε πλῆρες σφαλμάτων. Ὡσαύτως δὲ καὶ τὸ τοῦ ***Ὀρέστου*** κείμενον (PO 1178 τοῦ Α' αἰῶνος π. Χ.) δὲν εἶνε καλόν — Ἀλλὰ καὶ ὁ τοῦ Βαβρίου πάπυρος (P. Amehrst 26) καίπερ ὢν τοῦ 300 μ. Χ. εἶνε κατώτερος τοῦ Ἀθωνίου κώδικος, ὅστις εἶνε τὸ μοναδικὸν χργρφ τοῦ εἰρημένου μυθογράφου, ἀναγόμενον εἰς τὴν ΙΑ' ἑκατονταετηρίδα. — Τοὐναντίον δὲ σπουδαῖοί εἰσι δύο πάπυροι τοῦ Δημοσθένους ἀναγόμενοι εἰς τὸν Α' αἰῶνα π. Χ. ἀμφότεροι· τούτων ὁ μὲν PO. 1377 περιέχει βραχύτατον ἀπόσπασμα ἐκ τοῦ λόγου «***περὶ τοῦ στεφάνου***» (§ 167—9), ὁ δὲ P. Brit. Mus. 133 ἔχει πολύτιμον κείμενον μακροτάτου μέρους τῆς *Γ' **Ἐπιστολῆς*** τοῦ ῥήτορος (§ 1—38).

(ἰδίᾳ ἀπὸ τοῦ Δ' μέχρι τοῦ Ζ' αἰῶνος μ. Χ.) παρέχουσι κείμενον, ὅπερ οὔτε κρεῖττον οὔτε χεῖρον εἶνε τοῦ τῶν ἐκ περγαμηνῆς χργρφ. παρὰ τὴν διαφορὰν τῆς ἡλικίας· ἀλλ' εἰσὶν κατὰ τὸν χρόνον τοῦτον καὶ πολλοὶ πάπυροι ὑπέρτεροι τῶν χργρφ. διορθώσεις ἐξ εἰκασίας πολλῇ μεταβολῇ τοῦ κειμένου γενόμεναι σπανίως ἐπικυροῦνται· ἀλλ' εἰ καὶ ἡ ἀναλογία τῶν ἐκ μαντείας διορθώσεων εἶνε μικρά, οἱ φιλόλογοι δικαιοῦνται νὰ καυχῶνται ἐπὶ τῇ ἐπικυρώσει πολλῶν εἰκασιῶν αὐτῶν ἐν τῇ διορθώσει μάλιστα τοῦ Θουκυδίδου, τοῦ Αἰσχίνου, τῶν Ἐπιστολῶν τοῦ Δημοσθένους, τῆς Ῥητορικῆς πρὸς Ἀλέξανδρον, Ἀπολλωνίου τοῦ Ῥοδίου, τοῦ Βαβρίου, τοῦ Νόννου καὶ τῶν μυθιστοριογράφων Χαρίτωνος καὶ Ἀχιλλέως Τατίου.

Πλὴν τῶν συμβολῶν, ἃς οἱ πάπυροι παρέσχον εἰς τὸ κείμενον τῶν σωζομένων συγγραφέων, σπουδαῖον εἶνε καὶ τὸ φῶς, ὅπερ ἐπιχέουσιν ὡς πρὸς τὴν *μέθοδον τὴν ἀκολουθητέαν* ἐν τῇ ἐκδόσει τῶν ἀρχαίων κειμένων. Δύο δὲ μέθοδοί εἰσιν ἐν χρήσει· ἡ μὲν ἀκολουθεῖ κυρίως τὴν αὐθεντίαν ἑνὸς χργρφ. ἢ ὁμάδος χργρφ., ἅπερ φαίνονται παρέχοντα τὴν ἀρίστην παράδοσιν· ἡ δὲ ἑτέρα τέμνουσα μέσην ὁδὸν μεταξὺ ἀντιθέτων ὁμάδων δὲν λαμβάνει ἓν αὐτῶν συστηματικῶς ὡς ὁδηγόν· οἱ νεώτεροι φιλόλογοι ἠκολούθησαν εὐρέως τὴν πρώτην μέθοδον· καὶ ἀληθῶς αὕτη εἶνε ἐφαρμόσιμος εἴς τινας συγγραφεῖς, ἀλλ' οὐχὶ καὶ εἰς πάντας· ἐπὶ τοῦ Εὐριπίδου π. χ. τοῦ Θεοκρίτου καὶ τοῦ Αἰσχίνου, ὧν τὰ χργρφ. εἰσι καὶ μεταγενέστερα καὶ πενιχρά, τὸ κείμενον τὸ ὀρθὸν εὑρίσκεται διὰ συνδυασμοῦ τῶν ποικίλων χργρφ. ἢ τῶν ὁμάδων αὐτῶν. Ἀλλ' ὡς πρὸς τὰς ἐκδόσεις τοῦ Αἰσχύλου, τοῦ Σοφοκλέους, τοῦ Πλάτωνος, τοῦ Ἰσοκράτους καὶ τοῦ Δημοσθένους ἰδίᾳ, καὶ μάλιστα ὡς πρὸς τὴν τοῦ Ἡροδότου, Θουκυδίδου καὶ Ξενοφῶντος τάσις ἐγένετο νὰ στηριχθῶσιν οἱ ἐκδόται ἀποκλειστικῶς εἰς μίαν μόνην παράδοσιν, εἰ καὶ παρατηροῦνται ἀξιοσημείωτοι ἐξαιρέσεις, ὡς ἐν τῇ τοῦ Ἡροδότου ἐκδόσει τῇ ὑπὸ Hude γενομένῃ καὶ ἐν τῇ τοῦ Ξενοφῶντος ὑπὸ Marchand· οἱ δὲ πάπυροι ἀπὸ τοῦ ἀρχαιοτάτου μέχρι τοῦ νεωτάτου δεικνύουσι σαφῶς, ὅτι ἡ ἐκλεκτικὴ μέθοδος εἶνε ὀρθή· αἱ οἰκογενειακαὶ διαιρέσεις τῶν ἐκ περγαμηνῆς χργρφ., ἃς οἱ ἐκδόται συχνάκις συνεταύτισαν πρὸς γνωστὰς ἢ *ὑποθετὰς ἐκδόσεις*, εἰσὶ σχετικῶς μεταγενεστέρας καταγωγῆς καὶ δὲν ἐξικνοῦνται εἰς τὴν τῶν παπύρων περίοδον, ἥτις λήγει τὸν Ζ' αἰῶνα·

πρακτικῶς πάντες οἱ τῶν συγγραφέων πάπυροι εὕρηνται ἐν συγχῇ συμφωνίᾳ πρὸς τὰ καλούμενα χείρονα χργρφ., τὰ δὲ κρείττονα οὐδὲν εἶδος μονοπωλίου ἀρχαίων καὶ ὀρθῶν γραφῶν ἔχουσιν· ὅθεν οἱ μέλλοντες ἐκδόται τῶν ποιητῶν καὶ πεζογράφων, οἷος ὁ Σοφοκλῆς, ὁ Θουκυδίδης, ὁ Πλάτων, ὁ Ἰσοκράτης καὶ ὁ Δημοσθένης πρέπει νὰ ὦσι παρεσκευασμένοι, ὅπως εὕρωσι τὴν ἀλήθειαν ἐν τῇ μαρτυρίᾳ καὶ τῶν χργρφ. ἅτινα καλοῦνται χείρονα καὶ ν᾽ ἀκολουθῶσι τὸ παράδειγμα τὸ τεθὲν ὑπὸ τοῦ Marchant ἐν τῇ ἐκδόσει τοῦ Ξενοφῶντος, ἐξασκοῦντες ἐν τῇ ἀποφάσει αὐτῶν ἐλευθέραν κρίσιν μεταξὺ συγκρουομένων χργρφ.

Ἡ παπυρολογία μόλις ἀπὸ τριακονταετίας τὴν ὑπόστασιν λαβοῦσα παρέχεται σπουδαῖα πορίσματα καὶ ὡς πρὸς τὴν κριτικὴν τῶν ἀρχαίων κειμένων, εἰ καὶ ταῦτα δυνατὸν νὰ ἐπισκοτισθῶσιν ἐκ τοῦ λαμπροτέρου φωτὸς τοῦ διαχυθέντος διὰ τῆς ἀνευρέσεως κλασσικῶν κειμένων τέως ἀπολωλότων. Ἡ Αἴγυπτος ἔτι παρέχει πολλὰς ἐλπίδας πρὸς νέας ἀνευρέσεις κλασσικῶν ἔργων· ἀλλὰ καὶ πάντες οἱ εὑρεθέντες πάπυροι οὔτε ἐμελετήθησαν οὔτε ἐξεδόθησαν· ὅταν δὲ τὸ ὑπόλοιπον τῆς τῶν ΟΡ. συλλογῆς καὶ πάντων τῶν οὔπω ἀνελιχθέντων Πτολεμαϊκῶν παπυρικῶν συμπιλημάτων, τῶν ἐν Ὀξφόρδῃ καὶ ἐν τοῖς διαφόροις Μουσείοις τῆς Εὐρώπης ἀποκειμένων, ἔλθῃ εἰς τὴν δημοσίευσιν, ἡ ἀξία τῆς τῶν παπύρων συμβολῆς καὶ εἰς τὴν κριτικὴν τοῦ κειμένου τῶν Ἑλλήνων κλασσικῶν ἥτις ηὐξήθη ἐντὸς τῶν τελευταίων 14 ἐτῶν, ἔτι μᾶλλον μέλλει ν᾽ αὐξηθῇ.

Μέρος τῆς προκειμένης πραγματείας ἐδημοσιεύθη πρὸ ἐτῶν εἰς τὰ *Ξένια* τὸ πανηγυρικὸν τεῦχος ἐπὶ τῇ 75ρίδι τοῦ Πανεπιστημίου μας. Δυστυχῶς ὁ τότε Πρύτανις καὶ τῆς ἐκδόσεως τοῦ βιβλίου ἐπιμεληθεὶς Σπυρίδων Λάμπρος ἐδημοσίευσεν ὅλας τὰς διατριβὰς τῶν *Ξενίων* χωρὶς παρὰ πᾶσαν προσδοκίαν νὰ στείλῃ οὐδὲ μίαν τυπογραφ. διόρθωσιν εἰς τοὺς συγγραφεῖς τῶν ἐργασιῶν αὐτῶν. Ἡ σπουδή του αὕτη καὶ εἰς τὰς ξένας ἐργασίας εἶχε τὰ φυσικὰ ἀποτελέσματά της. Αἱ πλεῖσται τῶν διατριβῶν τῶν *Ξενίων* διὰ τὴν ἀκηδίαν καὶ ἀφροντισίαν μὲ τὴν ὁποίαν ἐτυπώθησαν πᾶν ἄλλο ἢ πανηγυρικαὶ δύνανται νὰ θεωρηθῶσιν. Δὲν ἔπαυσα ἐγὼ ἔκτοτε ἔχων τὴν ἐπιθυμίαν νὰ ἐπανεκδώσω τὴν ἀτυχήσασαν αὐτὴν διατριβήν μου, συμπληρῶν, πλουτίζων καὶ καθόλου ἀναχωνεύων τὸ θέμα εἰς ὑλικὸν καὶ συμπεράσματα.

Καλαὶ κρίσεις περὶ τῆς (ἔστω καὶ οὕτω ἀτελῶς) δημοσιευθείσης πραγματειας ἐδημοσιεύθησαν ἔν τε τῇ Byzantinische Zeitschrift, καὶ ὑπὸ τοῦ W. H. Roscher, τοῦ γνωστοτάτου συγγραφέως πλείστων παρομοίων ἐργασιῶν καὶ ἐκδότου τοῦ διεξοδικοῦ Μυθολογικοῦ Λεξικοῦ, ἐν τῇ Wochenschrift für Klassische Philologie (1913 ἀρ. 25). Σπουδαίαν βοήθειαν τὴν ὁποίαν δὲν ἦτο δυνατὸν τόσον δαψιλῆ νὰ ἔχω ἐν Βερολίνῳ, μοὶ παρέσχε τώρα τὸ ἐν Ἀθήναις καλῶς καταρτιζόμενον Ἀρχεῖον τοῦ Νεοελληνικοῦ Λεξικοῦ καὶ ἐν μέρει καὶ τὸ Λαογραφικὸν Ἀρχεῖον.

Ὀλίγα τινὰ ἐπιθυμῶ νὰ εἴπω ἐνταῦθα περὶ τοῦ θέματος τὸ ὁποῖον πραγματεύομαι, καὶ περὶ τῆς γλώσσης ἐν τῇ ὁποίᾳ ἐπραγματεύθην τοῦτο. Καὶ πρῶτον περὶ τοῦ τελευταίου.

Τὴν διατριβὴν αὐτὴν ἔγραψα εἰς τὴν ἀρχαίαν ἢ καὶ μόνον ἀρχαιοπρεπῆ Ἑλληνικὴν γλῶσσαν, καὶ τὴν λεγομένην καθαρεύουσαν μὴ μεταχειρισθείς, διότι ἡ ἐργασία ἦτο προωρισμένη νὰ χρησιμοποιηθῇ κυρίως ἐν Γερμανίᾳ· ἐπεθύμουν δὲ νὰ γράψω ἑλληνικὴν γλῶσσαν προσιτὴν εὐκόλως καὶ εἰς ξένους λογίους. Διότι ξένοι κατὰ τὸ πλεῖστον λόγιοι μελετῶσι τὰ τοιαῦτα ζητήματα, ἐν Ἑλλάδι ὀλίγοι δεικνύουσιν ἐνδιαφέρον καὶ ἀντίληψιν διὰ τὰ τοιαῦτα θέματα. Οἱ ἀλλοδαποὶ δὲ λόγιοι δὲν ἀναγινώσκουσι προθύμως ἐκτενεστέρας πως ἐργασίας εἰς τὴν νεοελληνικὴν γραφείσας, ἐκτὸς ἐὰν εἶναι πρὸς τοῦτο ἀπαραιτήτως ἠναγκασμένοι. Τοῦτο πολλάκις ἤκουσα μετὰ λύπης ἐν Γερμανίᾳ, καὶ τελευταῖον μοὶ ὡμολόγει τοῦτο ὁ ἐν Ἰένῃ γνωστὸς καθηγητὴς Fr. Sommer, ὁ διάδοχος τοῦ πολλοῦ B. Delbrück ἐν τῇ ἐκεῖ γλωσσολογικῇ ἕδρᾳ.

Περὶ τοῦ ἐξεταζομένου δὲ θέματος παρατηρῶ, ὅτι τοῦτο ἐρευνᾶται ἐνταῦθα ἐν τῇ καθόλου Ἑλληνικῇ φιλολογίᾳ ἢ γραμματείᾳ, ἔν τε τῇ ἀρχαίᾳ, καὶ τῇ Ἑλληνιστικῇ, καὶ τῇ Βυζαντινῇ καὶ τῇ μεσαιωνικῇ καὶ τῇ νεωτέρᾳ, κατὰ λόγον τῶν ὑπαρχουσῶν ἑκάστοτε πηγῶν καὶ εἰδήσεων. Διότι σκοπὸς τῆς σημερινῆς φιλολογικῆς ἐπιστήμης καὶ τῆς φιλολογικῆς ἐργασίας δὲν

εἶναι μόνον ἡ συστηματικὴ παράστασις τοῦ πρὸ ἡμῶν ὑπάρχοντος, ἀλλ' ἡ γενετικὴ ἀνάπτυξις καὶ ἐξήγησις αὐτοῦ. Ἡ ἐν τοιούτῳ θέματι διατριβὴ παρέχει ἄλλα τε καλὰ καὶ τὴν εὔρυνσιν τοῦ βλέμματος καὶ τῆς ἀντιλήψεως τοῦ φιλολόγου, εἰθισμένου ἄλλοτε νὰ ἐξετάζῃ καὶ θαυμάζῃ μικρὰν μόνον περίοδον τοῦ ἑλληνικοῦ βίου, ἂν καὶ δικαίως, ἀφοῦ ἡ περίοδος αὕτη παρήγαγε τὰς ὑψίστας καλλιτεχνικὰς μορφὰς τοῦ λόγου καὶ τῆς τέχνης καὶ τὰς ἀνωτάτας διανοητικὰς συλλήψεις τοῦ ἀνθρωπίνου νοῦ. Ἀλλ' ὁ περιορισμὸς εἰς μόνα ταῦτα τὰ κλασσικὰ ἰδεώδη κατέπεσεν ἀπὸ πολλοῦ, τώρα ἐπιζητεῖται ἡ συνέχισις τῆς ἱστορικῆς ἐξελίξεως. ἡ δὲ ἔρευνα τοῦ πολιτισμοῦ εἰς τὰς διαφόρους αὐτοῦ ἐκφάνσεις ἀπαιτεῖ κοινὴν συνεργασίαν φιλολόγων, ἱστορικῶν, θεολόγων καὶ ἄλλων ἐπιστημόνων. Ἡ φιλολογία σήμερον παρὰ τὸν ἀρχαῖον κόσμον ἐν τῇ ὅλῃ αὐτοῦ ἐκτάσει, συνεξετάζει καὶ τὴν μεταβολὴν αὐτοῦ διὰ τοῦ Χριστιανισμοῦ καὶ τῆς χριστιανικῆς φιλολογίας, συμπίπτουσα οὕτω ἐν τούτῳ πρὸς τὴν Θεολογίαν, γενομένην ἱστορικὴν ἐπιστήμην. Διότι ἡ πρώτη Ἐκκλησία, ἡ προκύψασα ἐκ τῆς συμφιλιώσεως τοῦ ἀρχικοῦ Χριστιανισμοῦ πρὸς τὸν Ἑλληνορρωμαϊκὸν πολιτισμόν, ἢ μᾶλλον πρὸς τὴν ἑλληνιστικὴν περίοδον τοῦ Ἑλληνικοῦ ἔθνους [1]). παρέλαβεν ἐκ τοῦ πρὸς αὐτὸν ἀγῶνος πλεῖστα ὅσα, ἅτινα μόνον δι' ἱστορικῆς ἐξετάσεως εἶναι δυνατὸν νὰ κατανοηθῶσιν.

Ἡ ἡμετέρα ἐπιστήμη ἐν τῇ παρακολουθήσει γλώσσης, ἱστορίας, λαογραφίας κτλ. κατέρχεται νῦν μέχρι τῶν χρόνων ἡμῶν διοχετεύουσα οὕτω εἰς ἡμᾶς ἀκριβῆ γνῶσιν τῶν βάσεων τοῦ ἡμετέρου πολιτισμοῦ. Ἡ σύνδεσις τοῦ σημερινοῦ πολιτισμοῦ πρὸς τὸν ἀρχαῖον νοεῖται οὐ μόνον διὰ τῆς Ἑλληνιστικῆς ἐποχῆς (ὅτε ἀκριβῶς ἐξευρέθη ὁ τρόπος διὰ τοῦ ὁποίου ἡ ἐποχὴ τῆς λάμψεως τοῦ ἀττικοῦ πνεύματος ἐγένετο κτῆμα κοινὸν τῶν πεπολιτισμένων λαῶν), ἀλλὰ καὶ διὰ τοῦ ἐξελληνισμοῦ τῶν τε Ῥωμαίων (ἀνὴρ ὡς ὁ Κικέρων μεταβιβάζει εἰς αὐτοὺς τὴν γνῶσιν τοῦ Ἑλληνισμοῦ) καὶ τῆς Ἐκκλησίας [2]).

Οἱ χρόνοι παρῆλθον τῶν κλασσικῶν προλήψεων, οἱ χρόνοι καθ' οὓς περικλεὴς φιλόλογος ὡς ὁ Fr. A. Wolf διέκοπτε παρὰ Ματθ. 8.28 μετ' ἀγανακτήσεως τὴν ἑρμηνείαν τῶν Εὐαγγελίων, ἕνεκα τῆς βαρβαρικῆς χρήσεως τῆς Ἑλληνικῆς γλώσσης, καὶ εἰς τὸν Niebuhr τὰ Σιβιλλιακὰ βιβλία ἐφαίνοντο ὡς οὐδενὸς λόγου ἄξια («blosser Quark»), καὶ ὁ Lachmann τὸν Ἰγνάτιον ἡρμήνευε μετ' ἄκρας δυσφορίας διὰ τὰς καθαρὰς βλακείας του («mit höchsten Wiederwillen gegen das rein dumme Zeug») [3]). Σήμερον πάντα ταῦτα καὶ τὰ παρόμοια μετὰ προσοχῆς ἐξετάζονται, προσηκόντως ἐκτιμῶνται, οὐδὲν δὲ περιφρονεῖται. Ἡ ἀντίληψις τῆς φιλολογικῆς ἐπιστήμης μετεβλήθη καὶ ηὐρύνθη, διαρκῶς δὲ πρὸς τὸ τελειότερον βαδίζομεν. Ἀνερχόμεθα πάντοτε ὑψηλότερον καὶ πάντοτε μακρότερον βλέπομεν.

(1) Ἐν τῇ προκειμένῃ διατριβῇ γίνεται πολλάκις χρῆσις τοῦ ὅρου *Ἑλληνισμός*, *Ἑλληνιστικὸς* κτλ. κατὰ τὰ ὑπὸ τοῦ Droysen καὶ τῶν μετ' αὐτὸν καθιερωθέντα.

(2) Πρβλ. *E. Norden*, Die antike Kunstprosa II σελ. 160 ἑξ.

(3) Ἰδὲ περὶ πάντων τούτων Paul Wendland, Die griechisch-römische Kultur β' ἐκδ., ἐν Τυβίγγῃ 1912, σελ. 9 ἑξ.

ΒΟΗΘΗΜΑΤΑ

Ἐν τῷ παρόντι καταλόγῳ παραλείπεται ἰδία λεπτομερὴς μνεία τῶν μεγάλων καὶ ἐν πάσῃ φιλολογικῇ ἐργασίᾳ χρησιμωτάτων ἔργων τῶν Pauly-Wissowa-Kroll, Daremberg καὶ Saglio, Roscher (Μυθολογ. Λεξικ.), Preller-Robert, Gruppe κττ. εἰς ἃ ἐν ταῖς σημειώσεσι γίνονται ἑκάστοτε παραπομπαί.

Appel, G. — De Romanorum precationibus. Giessen 1909. (RGVV).

Beth, K. — Religion und Magie bei den Naturvölkern. Ἐν Λιψίᾳ 1914.

Boll, Franz. — Die Lebensalter, Ein Beitrag zur antiken Ethologie und zur Geschichte der Zahlen ἐν τοῖς Neue Jahrbücher für das kl. Altertum κλτ. τόμῳ 31ῳ σελ. 89—146 καὶ ἐν ἰδιοτύπῳ, ἐν Λιψίᾳ 1913 σελ. 1—58.

— Sphaera. Neue griechische Texte und Untersuchungen zur Geschichte der Sternbilder. Ἐν Λιψίᾳ 1902.

— Sternglaube und Sterndeutung. 2ᾳ ἔκδ. Ἐν Λιψίᾳ 1919.

Bouché-Leclercq, A. — L'astrologie grecque. Ἐν Παρισίοις 1899.

Buresch, Karl. — *Klaros.* Untersuchungen zum Orakelwesen des späteren Altertums. Ἐν Λιψίᾳ 1889.

Cumont, Fr. — Les religions orientales dans le paganisme romain. Β' ἔκδοσις ἐν Παρισίοις 1909 (Γερμ. μετάφρασιν ἐδημοσ. ὁ Gehrich ἐν Λιψίᾳ 1914).

Dieterich, Albert. — Abraxas. Studien zur Religionsgeschichte des spätern Altertums. Ἐν Λιψίᾳ 1891.

Gronau, Karl. — Poseidonios und die Jüdisch Christliche Genesisexegese. Ἐν Λιψίᾳ 1914.

Gundel, Guilelmus. — De stellarum appellatione et religione Romana. Giessen 1907. (RGVV).

Hatzidakis, G. N. — 1) Einleitung in die neugriechische Grammatik. Ἐν Λιψίᾳ 1892. 2) Μεσαιωνικὰ καὶ Νέα Ἑλληνικά. Τόμ. 1-2. Ἐν Ἀθήναις 1905—1907. 3) Γενικὴ Γλωσσική. Ἐν Ἀθήναις 1917.

Joel, K. — Vom Ursprung der Naturphilosophie aus dem Geist der Mystik. Ἐν Λιψίᾳ 1910.

Maass, Ernst. — Die Tagesgötter in Rom und den Provinzen. Aus der Kultur des Niederganges der antiken Welt. Ἐν Βερολίνῳ 1902.

Mahaffy, J. P. — The silver age of the Greek world. Ἐν Σικάγῳ 1906.

Nagel, Konrad. — Untersuchungen zur Geschichte der Zwölfzahl.

Norden, E. — Die antike Kunstprosa. Τόμ. 1-2. Ἐν Λιψίᾳ, 1898 (γ' ἀνατύπωσις 1915—18).

Pfeiffer, Erwin —Studien zum antiken Sternglauben. 'Εν Λιψίᾳ 1916.

Πολίτου. Ν. Γ.—Μελέται περὶ τοῦ βίου καὶ τῆς γλώσσης τοῦ Ἑλληνικοῦ Λαοῦ. 1) Παροιμίαι τόμ. 1-4. 2) Παραδόσεις τόμ. 1-2. 'Εν 'Αθ. 1904 ἑξ.

Pradel, Fritz. — Griechische und Süditalienische Gebete, Beschwörungen und Gebete des Mittelalters, Giessen 1907. (RGVV).

Rehm, Albert. - Mythographische Untersuchungen über Griechische Sternsagen (Πρόγραμμα τοῦ ἐν Μονάχῳ Wilh. Gymnasium 1895 6).

Roscher, W. H.—Über Selene und Verwandtes mit einem Anhange von N. G. Politis über die bei den Neugriechen vorhandenen Vorstellungen vom Monde. 'Εν Λιψίᾳ 1890. (Σημειοῦται Selene)

— Die Enneadischen und Hebdomadischen Fristen und Wochen der ältesten Griechen.'Εν ταῖς Abhandlungen der phil.-hist. klasse der Sächsischen Akad. der Wiss. Τόμ. 21. 1903, τεῦχ.4. (σημειοῦται Fristen).

— Die Sieben-und Neunzahl in Kultus und Mythus der Griechen Abh. κτλ. τόμ. 24 (1904) τεῦχος 1. (Σημειοῦται Siebenzahl).

— Die Hebdomadenlehren der Griechischen Philosophen und Ärzte.Abhandl. κτλ.τόμ 24,(1906).τεῦχ 6 (Σημειοῦται Hebdomadenlehren).

— Über Alter, Ursprung und Bedeutung der Hippokratischen Schrift von der Siebenzahl. Abh. κτλ. τόμ.28 (1911) ἀρ 5 (Σημειοῦται Über Alter).

— Die Hippokr. Schrift von der Siebenzahl in ihrer vierfachen Überlieferung. Paderborn 1913. (Σημειοῦται Hipp. Schrift).

— Die Hippokratische Schrift von der Siebenzahl und ihr Verhältnis zum Altpythagorismus. Berichte über die Verhandl. der Sächs. Akad. der Wiss. Phil.-hist. klasse. Τόμ. 71. 1919. Τεῦχ. 5. (Σημειοῦται Altpythagorismus).

Schmidt, Wilhelm. Geburtstag im Altertum Giessen 1908 (RGVV).

Sethe, Kurt.—Von Zahlen und Zahlworten bei den alten Ägyptern. 'Εν Στρασβούργῳ ('Αλσ.) 1916.

Tambornino. Julius. — De antiquorum daemonismo. Giessen 1909. (RGVV).

Tresp. Alois.—Die Fragmente der Griechischen Kultschriftsteller. Giessen 1914 (RGVV).

Weinreich. Otto. —Triskedaikadische Studien. Giessen.1916.(RGVV).

Wendland, Paul. — Die Hellenistisch-Römische Kultur in ihren Beziehungen zu Judentum und Christentum 2ᾳ καὶ 3ῃ ἔκδ. ἐν Τυβίγ.1912.

Wessely, C.— Griechische Zauberpapyrus von Paris und London. 'Εν ταῖς Denkschr. der Wiener Akad. der Wiss. Phil.-hist. klasse.τόμ. 36 (1888).

— Neue Griechische Zauberpapyri. 'Εν ταῖς Denkschr. τόμ.42 (1893).

Wilamowitz, U. von.—Geschichte der Griechischen Religion ἐν τῷ Jahrbuch des Hochstifts zu Frankfurt a. M. 1904.

Zöckler, Otto — Die Tugendlehre des Christentums ἐν Gütersloh. 1904.

———

ΕΠΤΑΔΙΚΑΙ ΕΡΕΥΝΑΙ

Hic est numerus qui hominem concipi formari edi vivere ali ac per omnes aetatum gradus tradi atque omnino constare facit.
(Macrobius, Somn. Scip. I 6).

Α' ΣΥΓΚΡΙΣΙΣ ΚΑΙ ΕΠΙΤΑΣΙΣ

Τὴν τῆς ψυχῆς ἡμῶν κατάστασιν σφόδρα διάφορον ἑκάστοτε εἶναι ἐκφερομένων ἐπιθέτων οὐσιαστικὰ διοριζόντων, παρὰ πάντων ὁμολογεῖται. Ἢ γὰρ μόνον τῷ οὐσιαστικῷ τὸ ἐπίθετον παράκειται ποιότητά τινα ἐκείνου ἁπλῶς μηνῦον, ἢ σύγκρισις γίγνεται ποιότητός τινος ἐν δυσὶ ἢ καὶ πλείοσι ὁμοιογενέσι δὲ οὐσιαστικοῖς ἐνούσης, ἢ τέλος ταύτην σημαίνομεν κατ' ἐπίτασιν εἰς τὸ ἀκρότατον ἐν συγκρίσει ὑπάρχουσαν. Τούτοις που τοῖς τρόποις ἡ Ἑλληνικὴ γλῶσσα ὡς ἐπὶ τὸ πολὺ χρῆται ἐν τῇ ἐκφορᾷ τῆς τῶν ἐπιθέτων ποιότητος [1].

Ἵνα δὲ καὶ τῶν ὅρων ὧν νῦν ἐστι χρῆσις μνημονεύσωμεν, ἔχομεν ἁπλῶς εἰπεῖν ἐπίθετα θετικά τε καὶ συγκριτικὰ καὶ ὑπερθετικά. Διαφόρου δ' ὡς εἰκὸς οὔσης τῆς τῶν τριῶν τούτων τρόπων χρήσεως, ἀλλ' ὅμως εὕρηνται πολλάκις, εἰ καὶ μετά τινος ὀρθοῦ μὲν καὶ εἰκότος λανθάνοντος δ' ὡς εἰπεῖν λόγου, συγκριτικὰ μὲν ἀντὶ θετικῶν (Ὁμ. Ὀδ. ρ 176 οὐ μὲν γάρ τι *χέρειον* ἐν ὥρῃ δεῖπνον ἑλέσθαι.

[1]) Ἐν ἄλλαις γλώσσαις τοῦτο ὀξύτερόν τε καὶ πως εὐστοχώτερον δηλοῦται. Αὐτίκα ἐν τῇ Ἰταλικῇ γλώσσῃ λέγεται 1) bello, 2) più bello, 3) molto bello, 4) belissimo, καὶ 5) il più belissimo.

Πλατ. Θεαίτ. 177. c ἐμοὶ μὲν τὰ τοιαῦτα οὐκ *ἀηδέστερα* ἀκούειν. Ξενοφ. Ἑλλ. Ε' 2, 9 ***νεωτέρων*** (=νέων) τινὲς ἐπεθύμουν πραγμάτων) ἢ καί πως καὶ τἀνάπαλιν (Πλάτ. Πολιτ. 373, d καὶ ἡ χώρα που ἡ τότε ἱκανὴ τρέφειν τοὺς τότε, *σμικρὰ* δὴ ἐξ ἱκανῆς ἔσται. Ξενοφ. Ἀπομν. Γ' 13, 3 τὸ ὕδωρ *ψυχρόν*, ἔφη, ἐστὶν ὥστε λούσασθαι), πρὸς δὲ καί τινι ἀναμείξει ἢ «συμφυρμῷ» συγκριτικὰ ἀντὶ ὑπερθετικῶν (Ὁμ. Ὀδ. γ 362 οἷος γὰρ μετὰ τοῖσι *γεραίτερος* εὔχομαι εἶναι· η 156 ὃς δὴ Φαιήκων ἀνδρῶν *προγενέστερος* ἦεν), καὶ τέλος ὑπερθετικὰ ἀντὶ συγκριτικῶν (ὡς τὸ Σοφόκλειον ἐκεῖνο. Ἀντιγ. 100. «ἀκτὶς ἀελίου *τὸ κάλλιστον* ἑπταπύλῳ φανὲν Θήβᾳ *τῶν πρότερον* φάος») [1]. Ἀλλ' ἔστιν ὅτε ταύτην τὴν ἰσχυροτέραν ἢ ἀσθενεστέραν τοῦ ἐπιθέτου ἐπίτασιν, ἣν εἰς τοὺς τρεῖς λεγομένους βαθμοὺς διαιροῦμεν, αἱρεῖταί τις οὐ καταλήξει τινὶ ἀλλὰ λέξεως ἐπιτατικῆς συνθέσει δηλῶσαι [2]· ταύτῃ δ' ἑκάστοτε ἰδία τις δύναμις ὑπόκειται. Διδασκόμεθα δὲ τοῦτο τοιαύταις συνθέσεσιν οἷαι αἱ ἑπόμεναι [3]·

---

[1] Περί τινων ἄλλων χωρίων ὡς τοῦ Ὁμηρ. Ἰλ. Ζ 95 «ἀστὴρ δ' ὣς ἀπέλαμπεν (τ. ἐ. ὁ πέπλος), ἔκειτο δὲ ***νείατος ἄλλων***» Α. 505 «τίμησόν μοι υἱόν, ὃς ***ὠκυμορώτατος*** ἄλλων» Ὀδ. ε 105 «φησί τοι ἄνδρα παρεῖναι ***οἰζυρώτατον*** ἄλλων» διαλαμβάνει ὅ τε *Kvicala* ἐν ZÖ Gymn. 1858, 529 ἑξ. καὶ ὁ ***Delbrück*** ἔνθ. ἀν. σελ. 411, ὁ. τὴν γενικὴν ***ἄλλων*** ὑπολαμβάνει ὡς τὰ τῆς ***ἀφαιρετικῆς*** τελοῦσαν, κατὰ δὲ τὸ ***νειάτος ἄλλων*** ἐλέχθησαν καὶ τὰ ἄλλα παραδείγματα. — Πρβλ. περὶ τῶν παραθετικῶν καὶ ***Γ. Ν. Χατζιδάκιν*** ἐν Γενικ. Γλωσσ. σελ. 197, καὶ περὶ τῶν συγκριτ. καταλήξεων (τ)ερο- (τ)ερα- ***Brugmann - Delbrück***, Grundr. der vergl. Grammat B' 1, σελ 177 ἑξ.

[2] Οὕτως ἑρμηνεύεται τίνος ἕνεκα πολλαὶ γλῶσσαι στεροῦνται τοῦ λεγομένου ὑπερθετικοῦ βαθμοῦ τῶν ἐπιθέτων· ἰδὲ ***B. Delbrück***, Vergleichende Syntax der indogerm. Spr. τόμ. Α' ἐν Στρασβούργῳ, 1893, σελ. 411 ἑξ. Ἔν τισι δὲ πάλιν γλώσσαις οὐχ εὕρηνται τὰ θετικὰ πολλῶν συγκριτικῶν καὶ ὑπερθετικῶν ἐπιθέτων, τῆς συγκριτικῆς («σχετικῆς») τῶν ἐννοιῶν αὐτῶν χρήσεως ἀρχαιοτέρας οὔσης τῆς ἀπολύτου. Ἰδὲ *Delbrück* ἔ. ἀν. σελ. 414. Πρβλ. καὶ τὰ παραθετικὰ τοῦ **ἀγαθὸς** ἐν τῇ ἀρχαίᾳ γλώσσῃ.

[3] Πρβλ. περὶ τούτου καί: *Weihrich*, De gradibus comparationis linguarum sanscritae, graecae, latinae, gothicae. Gissae, 1869. - *Fr. Mayer*, Verstärkung, Umschreibung und Erweiterung der Komparationsgrade Programm. Landau, 1891. *O. Schwab* Historische Syntax der griech. Comparation in der klassischen Literatur. 1-3 Hefte. Würzburg, 1893-95. (ἰδ. Γ' 164 ἑξ.) - *Fr Abert*, Die Komparationsgrade bei Homer und den Tragikern. Programm 1885 6 Neuburg a. D. Ἐν τῷ τελευταίῳ τούτῳ βιβλίῳ, σελ. 2, εὕροι ἄν τις καὶ ἄλλην βιβλιογραφίαν μικροτέρου λόγου ἀξίαν.

(πολὺ) *πολύκαρπος*, πολύπικρος, πολύσεμνος, πολύστονος, πολύφαυλος·

(ἄγαν) *ἀγακλεής*, ἀγάφθεγκτος·

(πᾶν) *πάμμεγας*, πάγκαλος, πανάξιος, πανεπίθυμος, πάνσοφος, πάλλευκος, παμπλήρης, παμπλούσιος, πάνσεμνος, πανάνυτος [1])·

(ἄκρος) *ἀκρομανής*, ἀκρόθερμος, ἀκροπενθής [2])·

(ζα διά-) ζάθεος, ζάπλουτος, ζάλευκος, ζαπληθής, διάμεστος, διακορής, δίυγρος·

(αρι- ερι) *ἀρίγνωτος*, *ἀρίδηλος*, *ἐρίδηλος*, *ἐρίφυλλος*·

Εἶτα δ' εὑρίσκομεν τὰ *διπλᾶ* λεγόμενα *σύνθετα*

πολυπάνσοφος, *πολυπάμφαος*,

τὰ *παμμέγιστος*, πανάριστος, παγκάκιστος, πάμπρωτος,

τὰς προθέσεις ***περὶ*** καὶ ***ὑπὲρ***

περίκακος, περίδαρυς, περίθερμος, περίκλειτος, περίεφθος, περίζηλος [3]) κτλ.

ὑπέρκαλος, ὑπέρδαρυς, ὑπέρθεος, ὑπέροξυς, ὑπέρφιλος, ὑπέρλευκος, καὶ δὴ καὶ ὑπερήδιστος [4]).

Ἢ ἐπιτείνονται τὰ τοιαῦτα ἐπίθετα δι' ἐπιρρημάτων οἷα τὰ

μέγα (Ὁμ. Ἰλ. Α. 158 «*μέγ' ἀναιδές*». Ὀδ. ι. 44 «*μέγα νήπιος*». φ. 266 «*μέγ' ἔξοχος*». Ἡροδ. Α' 32 «*μέγα πλούσιος*». ς'. 25 «*μέγα ὄλβος*»).

---

[1]) Ὁ Ἀριστοφάνης ἐν Βατρ. 466 εἶπε «καὶ μιαρὲ καὶ παμμίαρε καὶ μιαρώτατε».

[2]) Ἐν παραδρομῇ εἰρήσθω ἐνταῦθα ὅτι ἡ ἐν τῇ καθ' ἡμᾶς φωνῇ σημασία τῆς λ. *ἄκρος* (*ἀκρομεθυσμένος*, *ἀκρονυστάζω* = ὀλίγον τι μ., ὀλίγον τι ν. *ὑπονυστάζω*. κττ.) ἤδη ἐν τῇ παλαιᾷ γλώσσῃ τὴν ἀρχὴν λαμβάνει. Πρβλ. το τοῦ Διοσκ. Ζ. 116 *ἀκρόζεστος*, το τοῦ Γαλην. (ΙΓ'. 577) *ἀκρόζυμος*, καὶ (ΙΒ', 97) *ἀκροχλίαρος*, το *ἀκρομέθυσος* (Σχολ. εἰς Ἀριστοφ. Αχ. 1132) το παρ' Ἀθην. 119 α *ἀκρόπαστος* κτλ.

[3]) Πρβλ. και το ἐπίρρημα ***πέρι*** ἐπιτεῖνον τὸ θετικὸν παρ' *Ὁμήρῳ* Ἰλ. Ι, 53 «Τυδεΐδη *πέρι* μὲν πολέμῳ ἔνι καρτερός ἐσσι» και Ι, 186. Κ, 244, Ὀδ. γ, 95. 112, θ, 281 κτλ. Περὶ τῆς διφορουμένης γραφῆς *περί-πέρι* ἰδ. *Lehrs*. Quaest. Ep. 90 καὶ 97. *La Roche*, Homer. Textkritik 337—341. *Cauer*, Praef. Od. σελ. 33 καὶ Il. σελ. 43 ἀλλὰ «κατὰ Ἀρίσταρχον ἀναστρεπτέον τὴν πρόθεσιν» Ρ, 240.

[4]) Πρβλ. καὶ τὰ τῶν Ῥωμαίων ***perparvus*** peraltus, perceler, perlongus, *praealtus*, praeceler, -longus, -nimis, καὶ δὴ και *perdulcissimus*, praeclarissimus praenobilior, praeclarior. Ἰδὲ *Weihrich* De gradibus σελ. 102 καὶ ἑξῆς.

πάνυ (*Θουκ.* Β' 49 «ὥστε μήτε τῶν πάνυ λεπτῶν ἱματίων τὰς ἐπιϐολὰς ἀνέχεσθαι»),

κάρτα (*Ἡροδ.* Δ', 41 κ. πλατέα, ς', 209 κ. ἄπιστα),

πολύ, πολλόν, λίαν (λίην), ***πάντα*** (*Σοφ.* Αἴ. 1415 «ὁ π. ἀγαθός», Ἠλ. 301 «ὁ πάντ' ἄναλκις», Οἰδ. Τ. 1197 «ὁ π. εὐδαίμων, ὄλϐιος». *Αἰσχ.* Πέρσ. 980 «τὸν σὸν *πιστὸν πάντ'* ὀφθαλμόν»),

πάμπαν (*Ὁμ.* Ὀδυσ. υ, 140 π. οἰζυρός),

πάντως (Ὕμν. Ἀπολλ. 19 «πῶς ἄρ' σ' ὑμνήσω *πάντως εὔυμνον* ὄντα»),

περισσῶς (περισσά), ***ἰσχυρῶς, δεινῶς*** [1]) (*Ἡροδ.* Β' 32 «δ. ἄνυδρος». Δ. 68 «μέλαινα δ. (ἡ ἶϐις»),

αἰνῶς (*Ἡροδ.* Δ' 52 «[ὁ Ὕπανις ποταμὸς] ***πικρὸς αἰνῶς*** » πρϐλ. καὶ Ἰλ. Γ, 158. Ὀδ. ρ, 24, Ὕμν. Ἀπόλλ. Δῆλ. 64 κτλ.),

τελέως, καλῶς, θαυμαστῶς, θαυμασίως ὥς, ὑπερφυῶς,

ἰσχυρῶς «χαράδρα *ἰσχυρῶς βαθεῖα* (*Ξενοφ.* Ἀναϐ. Ε' 2, 3. ἴδ. καὶ Α' 2, 21. Ζ' 7, 15),

διαφερόντως (*Θουκυδ.* Α' 138, 3 «ὁ Θεμιστοκλῆς ἦν *διαφερόντως* ἄξιος θαυμάσαι»), ***ὑπερβαλλόντως, ἐπιεικῶς, ἀτεχνῶς, καλῶς, σφόδρα*** [2]).

---

[4]) Πρϐλ. τὰ τῆς νεωτέρας Ἑλληνικῆς γλώσσης *φοβερὰ μαῦρος*, *φοβερὰ πικρός*, κτλ.

[1]) Ἐν τῇ νεωτέρᾳ Ἑλληνικῇ γλώσσῃ ἡ τοῦ θετικοῦ ἐπίτασις ἐκφέρεται πολλάκις ἐπαναλαμϐανομένου ἁπλῶς τοῦ θετικοῦ, ἀλλ' οὐχὶ προκειμένου περὶ ἐπιθέτων ψόγον τινὰ δηλούντων. Οὕτω τοίνυν λέγεται νῦν ***καλὸς-καλὸς ἄνθρωπος***, ***βαθειὰ-βαθειὰ*** ἢ ***καλὰ-καλὰ νὰ σκάψῃς***, κτλ. (ἀλλ' ὅμως ***βράδυ-βράδυ*** (πάμε περίπατον), οὐ τὴν βαθεῖαν ἑσπέραν ἀλλὰ τὸν περὶ τὴν ἑσπέραν που χρόνον δηλοῖ). Καὶ ἔχομεν μὲν τὸ ***Ἀριστοφαν.*** Ἱππ. 1155 ***πάλαι-πάλαι*** καὶ ἐν τῇ Ῥωμαϊκ. γλώσσῃ τὸ παρὰ τῷ χριστιανῷ ποιητῇ Κομμοδιανῷ instruct. 2, 24. 8 malus malus («largiri vis, ut te quasi malum malum depurges» τὸ παρὰ ***Σενέκᾳ*** de vita beata 7, 4 quia semper semper secuta est θεωρεῖται νόθον) ἀλλὰ τὰ παραδείγματα ταῦτα ἀσθενῆ καὶ ἐλάχιστά εἰσιν ἵνα τὸ πρᾶγμα εἰς τὴν παλαιὰν γλῶσσαν ἀναγάγωμεν. Πρόσθες τούτοις ὅτι οἱ ἀντιγραφεῖς ἀντὶ τῶν τυχὸν διπλῇ φερομένων λέξεων τὴν μίαν μόνον ἁπλούστερον ἔγραφον, τὴν ἐπανάληψιν σφάλμα ὑπολαμϐάνοντες. Ὑποληπτέον τοίνυν τοῦτο ἴδιον τῆς Ἑλληνικῆς Χριστιανικῆς Γραμματείας, καὶ δὴ Ἑϐραϊσμὸν (οἱ Ἑϐραῖοι ἐπαναλαμϐάνουσι τὸ θετικὸν εἰς ἐπίτασιν τῆς δυνάμεως τῆς ἐννοίας αὐτοῦ) ὁρμηθέντα ἐκ τῆς ἐν Συρίᾳ καὶ τοῖς περὶ αὐτὴν λαλουμένης Ἑλληνικῆς γλώσσης. Σημειωτέον δ' ὅτι οἱ Ἑϐδομήκοντα τὸ παρὰ ***Σολομ.*** Ἐκκλησ. 7, 25 āmok āmok ἑλληνιστὶ μετέγραψαν ***βαθὺ βάθος***, καὶ οὐχὶ βαθύ-***βαθύ***. Γνωστότατον εἶναι τὸ ἐκκλησιαστικὸν ᾆσμα «Ἅγιος, ἅγιος Κύριος Σαϐαώθ, πλήρης ὁ οὐρανὸς» κτλ.

Β'. ΑΡΙΘΜΗΤΙΚΩΝ ΤΙΝΩΝ (ΤΡΙΑ, ΠΕΝΤΕ) Η ΕΝ ΤΗι ΓΛΩΣΣΗι ΧΡΗΣΙΣ

'Αλλὰ πλὴν πάντων τούτων τῶν ἐπιτατικῶν τρόπων ἐν τῇ ἐκφορᾷ ἐπιθέτου τινὸς ὃ αὐτὸ καθ' ἑαυτὸ παράκειται οὐσιαστικῷ τινι ἄνευ ἀναφορᾶς καὶ πρὸς ἕτερον οὐσιαστικὸν ἢ πρὸς πάντα τὰ ὁμοιογενῆ οὐσιαστικά, γιγνώσκομεν καὶ ἄλλον τινὰ συνήθη τρόπον ἐπιτάσεως τοῦ ἐπιθέτου. Οὗτος δ' ἐστιν ἡ παράθεσις ἢ καὶ ἡ σύνθεσις αὐτοῦ ὡρισμέναις λέξεσι προδηλοτέραν σημασίαν ἐχούσαις καὶ ἐπιτηδειοτάταις πρὸς τὴν τῆς σημασίας ἐπίρρωσιν. Οὕτω δὲ τὸ θετικὸν ἐπίθετον ἐπιτείνεται εἰς δύναμιν ὑπερθετικοῦ [1]).

Τοιαῦται λέξεις εἰσὶ τὰ ἀριθμητικὰ καὶ δὴ πάντων μάλιστα τὰ **τρία**, (πέντε), **ἑπτὰ** καὶ **ἐννέα**. Ἤδη δὲ πάντες που οἱ περὶ ταῦτα διατρίβοντες ἴσμεν *Ὅμηρον* τὴν νύκτα **τρίλλιστον** ἐπονομάζοντα

Παραβλητέα καὶ τὰ Ἰταλικὰ un ragazzo piccolo piccolo, ratto ratto κτλ. ὧν ἡ ἀρχὴ οὐχὶ εἰς τὴν Λατινικὴν γλῶσσαν ἀνακτέα (στεροῦνται δὲ τοῦ τρόπου τούτου αἱ ἄλλαι ῥωμανικαὶ γλῶσσαι, ὡς ἐρωτήσας ἔμαθον) ἀλλὰ μᾶλλον ἑρμηνευτέα ὡς ἰδία γένεσις τῆς Ἰταλικῆς γλώσσης.

[1]) Παρὰ τοῖς ποιηταῖς, μάλιστα δὲ τοῖς τραγικοῖς, τὰ ὑπερθετικὰ ὑπερθετικοῖς πάλιν ἐπιρρήμασιν ἐπιτείνονται εἰς ἔνδειξιν ὑψίστης ἐντάσεως, πάθους κτλ. Μνημονεύω ἐνταῦθα τοῦ Ὁμηρικοῦ Ἰλ. Β, 220 «μάλιστα ἔχθιστος» καὶ τοῦ Σοφοκλείου Οἰδ. Κ. 743 «πλεῖστον κάκιστος» καὶ τοῦ Εὐριπ. Μηδ. 1323 «ὦ μῖσος, ὦ μέγιστον ἐχθίστη γύναι | θεοῖς τε κἀμοὶ παντί τ' ἀνθρώπων γένει»· πρβλ. καὶ ὑπερθετικὰ οἷα τὰ *ἀξιαγαπητότατος* *βαρυσυμφορώτατος*, *μακροβιώτατος*, ***πολυτελέστατος***, *πολυανθρωπότατος* *μισοδημότατος*, *μισοχρηστότατος*, κτλ. πρὸς τούτοις δὲ καὶ τὰ ***μονώτατος***, ***ἑταιρότατος***, καὶ τὸ κωμικὸν ***αὐτότατος***, τὸ *ipsissimus* τοῦ Πλαύτου. κτλ. Πρὸς δὲ καὶ τὰ διπλᾶ ὑπερθετικὰ ***ἐλαχιστότατος*** (*Σέξτ.* ***Ἐμπειρ.*** πρὸς Φυσικοὺς Θ'. 406 «τὴν κατάληξιν τῆς νοήσεως ἐν ἐλαχιστοτάτῳ γενέσθαι πλάτει»). *μεγιστότατος*, ***καλλιστότατος***, καὶ τὰ τῶν Ῥωμαίων *minimissimus*, *postremissimus*. Περὶ τοῦ ***πρώτιστος*** ἰδ.: ***Lobeck*** ἐν Φρυνίχῳ σελ. 419. Πόσον δὲ ἡ τοῦ ὑπερθετικοῦ σημασία ἀμαυροῦται πολλάκις ἁπλῶς τούτου τῷ θετικῷ ἰσοδυνάμου γιγνομένου, δείκνυσιν ἐν πολλοῖς παραδείγμασιν ἥ τε Ἑλληνικὴ γλῶσσα καὶ ἡ Λατινική· μνημονεύω τοῦ λατ. *optimus*, ὅπερ οὐδὲν ἄλλο ἐν τῷ optimae artes δύναται ἢ bonus (αἱ καλαὶ τέχναι) καὶ τοῦ *maximus*, ὃ παρὰ ***Κικέρωνι*** pro Marc. 11 εὕρηται· «*maximas tibi* omnes *gratias agimus*, C. Caesar, *maiores* etiam habemus»! ἔνθα ὅρα τὴν παράδοξον τοῦ παραθετικοῦ θέσιν τε καὶ σύνδεσιν.

(Ἰλ. Θ. 488 «Ἀχαιοῖς ἀσπασίη *τρίλλιστος* ἐπήλυθε **νὺξ** ἐρεβεννή»[1]. **νειὸν** δέ, τοῦτ᾽ ἔστι τὴν χέρσον, *τρίπολον* (Ἰλ. Σ, 542 κτλ.) καὶ τὴν τρυφάλειαν *τρίπτυχον* (Ἰλ. Λ. 353), οὐ μάλα τῷ ἀριθμῷ τῶν πτυχῶν τὸν νοῦν προσσχόντα. τὸ πλῆθος δὲ καὶ τὴν ἐξ αὐτοῦ ἰσχὺν δηλῶσαι βουλόμενον. πρβλ. *τριβάρβαρος* («ζηλώσαντας Εὐριδίκην, ἥτις Ἰλλυρὶς οὖσα καὶ τριβάρβαρος» *Πλουτ.* Ἠθικ. 14 Β), *τρίβαφος* (τραβέα, *Ἰωάνν. Λυδ.* περὶ μην. 1. 19). *Σοφοκλῆς* δὲ *τρίδουλον* εἶπε «τὸν ἐκ προγόνων δοῦλον» ὅπως *Εὐστάθιος* ἡμῖν παραδίδωσι (725, 10)[2]). Καὶ τί χρὴ πλειόνων ἔνθα ὁ αὐτὸς *Εὐστάθιος* σημειοῦται ἐ. ἀ. «Τρίλλιστος ἡ πολυλιτάνευτος, ἐκ τοῦ *τρία*, ὃ *δηλοῖ τὰ πολλά*, καὶ τοῦ λίσσεσθαι τὸ παρακαλεῖν. Ἰστέον δὲ ὡς ἐπὶ τὰ *τρία καὶ πολλά εἰσιν*, εἰ καὶ μὴ ἀντιστρέφει ὁ λόγος, διὰ τοῦτο τὸ ***τρίλλιστον καλῶς καὶ πολύλλιστον*** *λέγεται*, ὡς ἐν Ὀδυσσείᾳ κεῖται· οὕτω δὲ καὶ τὴν *τριγλώχινα* τοῦ Ποσειδῶνος τρίαιναν *πολυγλώχινά* τις λέγει ποιητής[3])· καὶ *τρισάθλιος* δὲ τῷ αὐτῷ λόγῳ ὁ κατὰ πολὺ ἄθλιος· καὶ *τρισμάκαρες* οἱ Δαναοὶ (Ὀδ. ε, 306) οἱ λίαν μακάριοι. Τοιαῦτα δὲ καὶ ἕτερα οὐκ ὀλίγα, ἐν οἷς καὶ ὁ παρὰ τῷ Κωμικῷ *τρισκακοδαίμων*[4]) καὶ ὁ ἀνάπαλιν *τρισόλβιος* (Ἐκκλ. 1129). Τοιαῦτα δὲ καὶ ἅπερ τις τῶν παλαιῶν ἔθετο παραδείγματα βλασφημιῶν τῶν ἀπὸ ἀριθμοῦ, οἷον, *τρισεξώλης* ὁ πάνυ ἐξώλης καὶ *τριπέδων* ὁ πολλάκις πεδηθεὶς κακοῦργος δοῦλος, ὃς καὶ πέδων πέδωνος ἐν ἁπλότητι λέγεται καὶ στίγων εἴτουν στιγματίας. Φέρει δὲ καὶ ἀπὸ χρήσεως τοῦ Κωμικοῦ τὸ παλίμβολος *τρίπρατος* καὶ πολλάκις ἀπημπολημένος. Σοφοκλῆς δὲ *τρίδουλον* τὸν ἐκ προγόνων δοῦλον ἔφη[5]).

---

[1]) Ἀντὶ τοῦ **τρίλλιστος** εὕρηται ἐν Ὀδ. ε, 455 **πολύλλιστος**. ἰδὲ καὶ *Εὐστάθ.* 725, 21 καὶ 982, 59. Πρβλ. καὶ ***Παύλ. Σιλεντιαρ.*** 786 **τρίλλιστος**, ὃς δ᾽ ὅμως τὸν Αὐτοκράτορα καλεῖ **τρισέβαστον**.

[2]) Καὶ ***Πλούταρχος*** (Ἠθικ. 365, β) λέγει ὅτι **«τὸ δὲ πολλάκις εἰώθαμεν καὶ τρὶς λέγειν**, ὡς τὸ «τρισμάκαρες» (Ὀδ. ζ, 154) καὶ «δεσμοὶ μὲν τρὶς τόσσοι ἀπείρονες» (θ, 340).

[3]) Ὑπαινίσσεται εἰς ***Διονυσ.*** Περιηγ. 476 ***Ἀονίῳ τμηθεῖσα πολυγλώχινι σιδήρῳ***. Εἰς τοῦτο σημειοῦται ὁ αὐτὸς ***Εὐστάθιος*** (σελ. 190 Bernh) «ὅθεν καὶ μῦθος φέρεται, τὸν Ποσειδῶνα οἷα ἐπιστατοῦντα τοῖς σεισμοῖς ἀποτεμεῖν τὸν ἰσθμὸν Ἀονίῳ πολυγλώχινι σιδήρῳ, καὶ παρεισαγαγεῖν τὴν ἑκατέρωθεν ζωννύουσαν αὐτὸν θάλασσαν, καὶ οὕτω νῆσον ποιῆσαι τὴν τέως χερρόνησον (Σικελίαν)».

[4]) ***Ἀριστοφ.*** Ἀχ. 1024. Εἰρ. 1271. Βάτρ. 19. Θεσμοφ. 209. Ἐκκλ. 1098.

[5]) Οἰδ. Τ. 1062. πρβλ. καὶ Ἀντ. 858 πατρὸς τριπόλιστον = (πολυθρύλητον) οἶτον.

πολημένος [1]). Σοφοκλῆς δὲ *τρίδουλον* τὸν ἐκ προγόνων δοῦλον ἔφη [2]), Ἀνακρέων δὲ *τρισκεκορημένον* τὸν πολλάκις ἐκσεσαρωμένον, Ἀρχίλοχος δὲ *τρισοιζυρὴν* πόλιν ἔφη τὴν Θάσον [3]), Ἱππῶναξ δὲ τὸν τρία ὑπεραναβὰς ἀριθμὸν *ἑπτάδουλον* ἔφη τινά· ὑπὲρ δὲ ταῦτα ἐστι τὸ τοῦ Κωμικοῦ εἰπόντος *τρίπαλαι* καὶ *δεκάπαλαι* καὶ *μυριόπαλαι* (Ἀριστοφ. Ἱππ. 1153)»· πρβλ. καὶ 1542, 46: «Ἰστέον δὲ ὅτι αἱ συνθέσεις τοῦ *τρὶς* ἐπιρρήματος, ποτὲ μέν, ὡς ἀλλαχοῦ ἐδηλώθη (πρβλ. 725, 10), αὐτόχρημα τριάδα δηλοῦσιν, ὡς ἐν τῷ *τρισμάκαρες* καὶ *τετράκις*, καθὰ εἴρηται, ποτὲ δὲ *πλῆθος* σημαίνουσιν, ὡς ἐν τῷ *τρισγαρμύριοί* εἰσι παρ' Ἡσιόδῳ καὶ ἐν τῷ, ἀλλ' ὦ τρισκεκορημένε Σμερδίη παρ' Ἀνακρέοντι, ἤγουν πολλάκις ἐκσεσαρωμένε· καὶ Θάσον δὲ τὴν τρισοιζυρὴν πόλιν παρ' Ἀρχιλόχῳ, ἤτοι τὴν λίαν διζυράν» [4]).

Ὁ Ἀριστοφάνης Εἰρ. 242 εἶπεν «ἰὼ Πρασιαὶ *τρισάθλιαι* καὶ *πεντάκις* καὶ *πολλοδεκάκις*» [5]) καὶ ἐν Πλουτ. 850 ἐπὶ τὸ κωμικώτερον «οἴμοι κακοδαίμων, ὡς ἀπόλωλα δείλαιος, καὶ τρὶς κακοδαίμων καὶ τετράκις καὶ πεντάκις καὶ δωδεκάκις καὶ μυριάκις»· ἐπίσης *τρισμακάριος* εὕρηται πλειστάκις παρ' *Ἀριστοφάνει* (Ἀχ.

---

[1]) Ἰδ. Blaydes τόμ. ΙΒ' σελ. 395).

[2]) Οἰδ. Τ. 1062. πρβλ. καὶ Ἀντ. 858 πατρὸς τριπόλιστον οἶτον (ἰδ. κατωτέρω).

[3]) Ἀποσπ. 116.

[4]) Τὰ αὐτὰ δὲ τὸ τρίτον ἐπαναλαμβάνει ὁ Εὐστάθ. καὶ ἐν 89, 13 «Ἔοικε δὲ Ἀχιλλεὺς ἀρέσκεσθαι ἐν τοῖς ἀδικήμασι τῇ εἰς τὸ τριπλάσιον ποινῇ. Τῷ μὲν γὰρ Ἀγαμέμνονι κατ' ἄλλον λόγον *τριπλῇ* καὶ τετραπλῇ τοὺς Ἕλληνας ἀποτῖσαι τὸ γέρας ὑπέσχετο, ἑαυτῷ δὲ ἀδικηθέντι *τρὶς* τόσα φησὶ παρέσσεσθαι. Καὶ ὅρα ὅτι ποικίλως φράζων ὁ ποιητὴς τὸ *τριπλᾶ* τρὶς τόσα φησίν. ***Εἰκὸς δὲ καὶ ἀντὶ τοῦ πολλάκις εἰρῆσθαι τὸ τρίς***· ἐπεὶ καὶ οἱ ***τρισμάκαρες*** καὶ ὁ ***τρισευδαίμων*** καὶ τὰ τοιαῦτα κατὰ τοιοῦτον σημαινόμενον σύγκειται ἀπὸ τοῦ ***τρὶς*** ἐπιρρήματος, εἰ καὶ τὸ τρισάθλιος ὁ Πινδαρικὸς μῦθος ἄλλως νοεῖ· οὕτω καὶ ***τρίαινα*** ποτὲ μὲν ἡ τριγλώχιν, ποτὲ δὲ ἡ πολυτοιαύτη».

[5]) Παρ' Ἀλκ. 51 ἐλέχθη καὶ ***δὶς ἄθλιος***. Πρβλ. καὶ τὸ τοῦ *Πλάτ*. Γοργ. 428 ε «δὶς καὶ τρὶς καλὸν εἶναι τὰ μάλα λέγειν», καὶ τὸ Πινδαρικὸν Νεμ. Ζ', 104 «ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν ἀπορία τελέθει». Γνωστὸν δ' ἐστιν ὅτι καὶ τὰ νῦν ἔτι ὑπάρχουσι λαοὶ ὧν αἱ ἀριθμητικαὶ ἔννοιαι μόλις που τὸν ἀριθμὸν δύο ἢ τρία ὑπερβαίνουσι (*Usener*, **Rh. Mus.** ἔ. ἀν. σελ. 360) καὶ παρ' οἷς ὁ ἀριθμὸς *τρία* τὸ πολὺ δηλοῖ. Διὸ καὶ ὁ ***H. Diels*** ἐν Archiv für Gesch. der Philos. τόμ. Ι' (1897) 232 καὶ ἐν **Festschrift für Gomperz** σελ. 8,3 τὴν τυπικὴν ἐπισημασίαν τοῦ ἀριθμοῦ τρία τεκμαίρεται ἐκ τοῦ ὅτι οὗτος ἦν «**die ursprüngliche Endzahl der primitiven Menscheit**». Ἰδὲ καὶ *Weinreich*, Trisked. σελ. 78.

400. Νεφ. 166. Σφ. 1293. Εἰρ. 1333. Ὄρν. 1213. 1707 κτλ.), ἐν ἀναλύσει δὲ *τρὶς δ' ὄλβια κύματα* εἶπεν ὁ *Σοφοκλ.* Ἀποσπ. 719. Ὑπὸ τοῦ *Ξενοφῶντος* δ' ἐρρήθη (Ἀναβ. Γ' 2, 24) καὶ *τρισάσμενος*. Παρὰ *Διον. Ἁλ*. Ρωμ. Ἀρχ. Γ' 68 λέγεται περὶ τοῦ ὑπὸ τοῦ Ταρκυνίου κατασκευασθέντος μεγίστου τῶν ἱπποδρόμων ὅτι μετὰ τὸν εὔριπον αὐτοῦ «ᾠκοδόμηνται *στοαὶ τρίστεγοι*», καὶ παρὰ *Φλαβ. Ἰωσήπ*. Ἰουδ. Πολ. Ε', 5, 5 φέρεται περὶ τοῦ ναοῦ τοῦ Σολομῶντος «περὶ δὲ τὰ πλευρὰ τοῦ κάτω ναοῦ δι' ἀλλήλων ἦσαν *οἶκοι τρίστεγοι* πολλοί». Καὶ ἐν τοῖς *παπύροις* δὲ εὑρίσκομεν (Pap. Ox. σελ. 138 στ. 18. καὶ 162 στ. 5 καὶ 16) ἀναγραφομένην καὶ *οἰκίαν τρίστεγον*· αὕτη σημαίνει μὲν ἀκριβῶς τὴν τρεῖς στέγας («πατώματα») ἔχουσαν, ἀλλ' ὅμως τῷ σκοπουμένῳ τὰ παρὰ τοῖς τότε ἀνθρώποις μᾶλλον ἂν τὴν μεγάλην τε καὶ ὑψηλὴν δηλῶσαι βούλοιτο. Πλὴν τοῦ Εὐσταθίου καὶ ὑπ' ἄλλων ἤδη Γραμματικῶν παρετηρήθη τὸ πρᾶγμα. Αὐτίκα *Φρύνιχος* ὁ Ἀράβιος ἐν Ἐπιτομῇ (ἔκδ. de Borries. ἐν Λιψίᾳ, 1911, σελ. 111, 14) σημειοῦται: «*τριπάλαια*, τὰ πάνυ παλαιά» καὶ 112, 12 «*τρισέχθιστος* ἄνθρωπος οἷον παντὸς μίσους καὶ παντὸς ἔχθους ἄξιος», καὶ ὁ Σχολιαστὴς εἰς Ἰλ. Ω, 16 «*τρὶς* ἐρύσας περὶ ἄστυ ἀντὶ τοῦ *πολλάκις*».

Τούτοις δὲ προσθέσθαι χρή, ὡς ἐγῷμαι, καὶ τὴν λέξιν *τρικυμίαν*. Ἀναμφισβήτητον γὰρ τὴν *τρικυμίαν* ἀντὶ τοῦ *πολυκυμίαν* ῥηθῆναι. Τοῦτο δὲ καὶ βραδύτερον παρὰ Μανασσῇ εὕρηται (Χρονικ. 5443). Τὸ δὲ λεγόμενον ὅτι σημαίνει τὸ τρίτον κῦμα, ὡς τούτου φοβερωτέρου ὄντος τῶν προηγηθέντων δύο, ὅλως ἐν παιδιᾷ ἐρρήθη. Παίζει τοίνυν ὁ *Πλάτων* εἰς τὸ ἔτυμον τῆς λέξεως λέγων (Πολιτ. 472 α): «Οὐκ οἶσθα ὅτι μόγις μοι τὰ *δύο κύματε* ἐκφυγόντι *νῦν τὸ μέγιστον* καὶ χαλεπώτατον τῆς *τρικυμίας* ἐπάγεις;» ὥσπερ καὶ ὁ *Λουκιανὸς* ὃς παρίστησι τοὺς ἐπὶ μισθῷ συνόντας (Κεφ. 2) διηγουμένους «τοὺς ἐν ταῖς οἰκίαις χειμῶνας καὶ τὰς τρικυμίας καὶ νὴ Δία *πεντακυμίας* τε καὶ *δεκακυμίας*, εἰ οἷόν τ' εἰπεῖν».

Καὶ τί με χρὴ μνημονεῦσαι τῶν πολλῶν ἐκείνων ἄλλων καὶ ποικιλοτάτων ὀνομάτων τῶν τῷ τρία συνθέτων, οἷον *τρίβροχός* τε (Διοσκ.) καὶ *τρίγαμος*, Θεοκρ. 12, 5 «ὅσον παρθενικὴ προφέρει τριγάμοιο γυναικὸς» (παρὰ Πολυδ. Γ' 48 φέρεται ἄγαμος καὶ πολύγαμος κοινὰ ταῦτα καὶ ἐπὶ γυναικῶν) καὶ *τρίγιγας* (περὶ τοῦ Τάλω

τοῦ τὴν Κρήτην φυλάττοντος, Ὀρφ. Ἀργον. 1348) καὶ *τρίγληνος* (ἕρματα τρίγληνα ἐν Ἰλ. Ξ. 183, «πολλῆς θέας ἄξια» κατὰ τὸν Σχολ. καὶ κατὰ τὸν Ἡσύχ. *πολυθέατα*) καὶ *τριδύστηνος*· εἶπε δὲ καὶ ὁ Κωμικὸς Ὄρν. 1256 περὶ τοῦ Πειθεταίρου «ὥστε θαυμάζειν ὅπως οὕτω γέρων ὢν *στύομαι τριέμβολον*» (ἴδ. Blaydes). Πᾶσι δ' ἡμῖν γνωστός ἐστιν ὁ *τριέσπερος* Ἡρακλῆς, («τὸν γὰρ Δία μισγόμενον Ἀλκμήνῃ (λέγεται) τριπλασίαν τὴν νύκτα ποιῆσαι» *Διοδώρ.* Σικελ. Δ', 9)· ὁ *Ἀριστοφάνης* εἶπεν (Ἀποσπ. 812) *τρίκλυστος*, *τρίκλωστον* ἐπισπαστῆρα εὑρίσκομεν ἐν τῇ Παλ. Ἀνθ. ΣΤ', 109. («καὶ κρυφίου τρίκλωστον ἐπισπαστῆρα βόλοιο»)· σαφέστατα ὁ *Ἡσύχιος* λέγει ἑρμηνεύων τὸ *τρικόνητος* «ὁ *πολλάκις* ἀπολέσθαι ἄξιος καὶ καταγωσθῆναι», περὶ δὲ τοῦ Ἐπικούρου διηγεῖται *Διογ.* ὁ *Λαέρτ.* Βίοι Φιλοσ. 10, 5 ὅτι τινὲς διαβάλλοντες αὐτὸν ἄλλας τε πολλὰς καὶ πικροτάτας διαβολὰς ἔλεγον καὶ ὡς ἔγραφε πρὸς τὴν Θέμισταν τὴν Λεοντέως γυναῖκα «οἷος, φησίν, εἰμὶ ἐὰν μὴ ὑμεῖς πρὸς ἐμὲ ἀφίκησθε, αὐτὸς *τρικύλιστος* ὅποι ἂν ὑμεῖς καὶ Θεμίστα παρακαλῆτε ὠθεῖσθαι». Ἐν ἐπιγράμματι *Παύλου Σιλεντιαρίου* εἰς κόττυφον ἐμπεπτωκότα εἰς δίκτυον καὶ ἐξολισθήσαντα (Παλατ. Ἀνθολ. Θ', 396) λέγεται περὶ αὐτοῦ «ἡ τάχα που *τριμάκαιρα* φιλαγρέτις ὄρνιν ἀοιδὸν | Ἄρτεμις εὐμόλπῳ λῦσεν ἄνακτι λύρης». Ὁ χορὸς (ἡ Ἰσμήνη μᾶλλον ἢ ἡ Ἀντιγόνη) ἐν τῷ *Αἰσχυλ.* Δράματι Ἑπτὰ ἐπὶ Θηβ. 895 ταλανίζων ἀναφωνεῖ (κήδεα) δίυγρα *τριπάλτων* πημάτων» (πρβλ. ἀνωτ. 978 δυσθέατα πήματα) ὃ ὁ Σχολ. ἑρμηνεύει «πολυορμήτων πολυκινήτων, σφοδρῶς πηδησάντων». Ἐν τῇ Παλατ. Ἀνθολ. ΙΒ', 57 καλεῖται ὁ *ἔρως* τριπάνουργος («ter-perfidus»). Ἡ Κλυταιμήστρα ἐν *Αἰσχύλ.* Ἀγαμέμν. 1475 ἀποκρινομένη πρὸς τὸν χορὸν λέγει «νῦν δ' ὤρθωσας στόματος γνώμην, | τὸν *τριπάχυντον* | δαίμονα γέννης τῆσδε κικλήσκων» [1]. Καὶ αἱ Χοηφόροι (στ. 312 ἑξ.) τὸν Ὀρέστην ἐπὶ τὴν πρᾶξιν παραθαρρύνουσαι καὶ παρορμῶσαι ἐπιδῶσιν αὐτῷ «ἀντὶ δὲ πληγῆς φονίας φονίαν | πληγὴν τινέτω. δράσαντι παθεῖν, *τριγέρων* (=παλαιότατος) μῦθος ἔφυ. Παρὰ *Πλουτάρχ.* Ἠθ. 1071 c λέγεται ὑπὸ τοῦ Διαδουμένου ὅτι «οἱ *τριπέμπελοι* (---) περιπάτους τινας καὶ ἀναφωνήσεις καὶ τομὰς νὴ

[1]) Οὕτω διωρθώθη τὸ *τριπάχυιον* τῶν ἀντιγράφων ὑπὸ τοῦ Bamberger καὶ **Hermann**. Πρβλ. Ἑπτὰ ἐπὶ Θήβ. 770 ὄλβος *ἄγαν παχυνθείς*.

Δία καὶ φαρμακείας εὐλογίστους τέλη (ποιοῦνται) τῆς ὑγιείας» ἔνθα τριπέμπελοι λέγονται οἱ ὑπὸ γήρως παιδαριώδεις καὶ παλίμπαιδες γενόμενοι. Ὁ *Πολυδεύκης* λέγει ΣΤ', 165 *τρίπαλαι* («τὸ γὰρ τριπέρυσιν ἠρέμα φορτικόν»). Γνωστὸν δ' εἶναι τὸ τοῦ *Ἡσιόδ.* Ἔργ. 423 «ὅλμον μὲν *τριπόδην* τάμνειν, ὕπερον δὲ *τρίπηχυν*, | ἄξονα δ' ἑπταπόδην» καὶ τὸ τοῦ Σειληνοῦ πρὸς τὸν Κύκλωπα (*Εὐρ.* Κύκλ. 234) «δήσαντες δὲ σὲ κλῳῷ (=κλοιῷ) τριπήχει (=μεγάλῳ) κατὰ τὸν ὀφθαλμὸν μέσον | τὰ σπλάγχν' ἔφασκον ἐξαμήσεσθαι βίᾳ». Ἐν δὲ τῇ Παλατ. Ἀνθολογ. ΙΑ', 267 εὕρηται καὶ *ῥὶς τρίπηχυς*· Κράτης δέ (παρ' *Ἀθην.* 418, c) φησιν ἐν Λαμίᾳ

«ἔπη *τριπήχη* Θετταλικῶς τετμημένα»

τοῦτο δ' εἶπεν ὡς τῶν Θετταλῶν *μεγάλα* κρέα τεμνόντων. *Τριπιθήκινον ῥύγχος* εἶχεν ἡ Βιτὼ (Παλατ. Ἀνθολ. ΙΑ', 196) οἷον ἰδοῦσαν τὴν Ἑκάτην [αὐτὴν] οἴομ' ἀπαγχονίσαι. *Τριπλανῆ δὲ ποδηγίαν* ἐκάλεσεν ὁ *Λυκόφρ.* Ἀλεξ. 846 τὴν περίπυστον πλάνην τῶν τριῶν Γοργόνων («λαμπτηροκλέπτης, ὁ Περσεύς, τριπλανοῦς ποδηγίας»). *Τριπόθητος-τριπόθατος* συχνόν ἐστι παρὰ τοῖς Βουκολικοῖς ἐπίθετον, ὃ νῦν ἡμεῖς *περιπόθητος* λέγομεν· πρβλ. [Θεοκρ.] Ἐπιταφ. Βίων. 51 (σελ. 93, Wilamowitz, ἐκδ. Ὀξων.) «τίς ποτὶ σᾷ σύριγγι μελίξεται *ὦ τριπόθητε*», Βίων. 14,15 (σελ. 144 Wilamowitz) «*εἶαρ* ἐμοὶ *τριπόθατον* ὅλῳ λυκάβαντι παρείη». Τριπόθητος δὲ καλεῖται ἡ εὐδαιμονία, ὁ θρίαμβος, ὁ ὕπνος κτλ. (ἴδ. καὶ Λεξικ., πρβλ. καὶ *Ἄννης Κομνηνῆς* ΙΓ' 12 «καὶ τοῦ τριποθήτου υἱοῦ σου τοῦ βασιλέως κυρίου Ἰωάννου»)· παρὰ *Δικαιάρχῳ* 29 δὲ εὕρηται καὶ *τρίποκα κώδια*, τὰ πυκνὸν μαλλὸν ἔχοντα.

Τίς δ' ἀγνοεῖ τὸ *Σοφόκλειον* ἐκεῖνο Ἀντιγ. 857 «ἔψαυσας ἀλγεινοτάτας ἐμοὶ μερίμνας | πατρὸς *τριπόλιστον οἶτον*» τοῦ ἀτυχοῦς Οἰδίποδος οὗ τὴν συμφορὰν «πᾶς τις Ἑλλήνων θροεῖ» (Οἰδ. Κολ. 597). Ὁ *Σχολ.* σημειοῦται εἰς τοῦτο «τὸν πολλάκις ἀναπεπολημένον ἢ διάσημον καὶ πανταχοῦ ἀκουόμενον καὶ πολούμενον»· «πολυθρύλητον καὶ πάνδημον δυστυχίαν, ἣν πᾶς ἐλεεῖ». Θεόπομπος δ' ἐν τῇ πρὸς Ἀλέξανδρον Ἐπιστολῇ (παρ' *Ἀθην.* 595 β) τὴν Ἁρπάλου διαβάλλων ἀκολασίαν φησὶν «ἐπίσκεψαι δὲ καὶ διάκουσον σαφῶς παρὰ τῶν ἐκ Βαβυλῶνος ὃν τρόπον Πυθιονίκην περιέστειλεν τελευτήσασαν ἡ Βακχίδος μὲν ἦν δούλη τῆς αὐλητρίδος, ἐκείνη δὲ Σι-

νώπης τῆς Θράττης τῆς ἐξ Αἰγίνης Ἀθήναζε μετενεγκαμένης τὴν πορνείαν· *ὥστε γίνεσθαι μὴ μόνον τρίδουλον, ἀλλὰ καὶ τρίπορνον αὐτήν*». *Τρισάλαστος* εὕρηται ἐν τῇ Παλατ. Ἀνθολ. ΙΒ', 137 ἐν τῇ σημασίᾳ τοῦ τρισάθλιος («Ὀρθροβόας, δυσέρωτι κακάγγελε, νῦν τρισάλαστε»), παρὰ δὲ *Θεοφρ.* περὶ Φυτ. Ἱστορ. 2, 4, 2 φέρεται *τρισάλυπος* ὁ τελείως ἄλυπος, πρὸς ὃ παραβλητέα τὰ *τρισαλιτήριος* (Προδρομ. Α' 269 τοιαῦτα πέπονθα δεινά, κρατάρχα στεφηφόρε, | παρὰ μαχίμου γυναικὸς καὶ τρισαλιτηρίας), καὶ *τρισανάριθμος* ὁ σφόδρα ἀναρίθμητος (ἴδ. Rutgers, Var. lect. Ἐν Λουγδ. Βατ. 1618,5, 8)· *τρισάνθρωπος* ἐν τῇ σημασίᾳ τοῦ *τρισάθλιος* ἐρρήθη ὑπὸ Διογένους τοῦ Σινωπέως τοῦ περιπύστου Κυνικοῦ (ἴδ. *Διογ. Λαέρτ.* ΣΤ', 47 «τοὺς ῥήτορας καὶ πάντας τοὺς ἐνδοξολογοῦντας τρισανθρώπους ἀπεκάλει ἀντὶ τοῦ τρισαθλίους»)· παρὰ δὲ *Νικήτᾳ τῷ Εὐγενειανῷ* εὑρίσκομεν ΣΤ' 204 (ἐκδ. Boissonade, παρὰ Didot) *τρισάποτμος* [1]) καὶ 333 *τρισανόητος*, ὁ πάνυ ἀνόητος. Ὁ *Κικέρων* εἶπε (ad Attic. 4. 15, 4) *τρισαρεοπαγίτης* περὶ ἀνηλεοῦς δικαστοῦ. Πρὸς τὸ παλαιὸν *τρισάσμενος* παραβλητέα τὰ τῶν μεταγενεστέρων *τρισαριστεργάτης* (*Μανασσ.* Χρον. 3192), *τρισάριστος* (*Κοσμ.* Ἱ*εροσολ.* 496 παρὰ Migne), *τρισάρνητος* (*Θεοδ.* Στουδ. 412 α), *τρισασπάσιος* (*Νικ. Χωνιάτ.* παρὰ Σάθᾳ Μεσ. Βιβλ. Α', σελ. 135), *τρισαύγουστος* (*Θεοφ.* 279, 443), *τρισβδέλυκτος, τρισβδέλυρος*. Μνημονευτέα τέλος ἔτι καὶ τὰ τῆς Ἀνθολ. *τρισάωρος* (ὁ λίαν ἀώρως ἀποθανὼν Ζ', 527), *τρισδείλαιος* (Ζ', 737), *τρισδύστηνος* (Θ', 574), *τρισθανὴς* (Η', 170), *τριχάλεπτος* (ΙΒ', 229), *τριχόλωτος* (Θ', 168). Ἐπίτασιν τοῦ *ἕωλος* μεγάλην δηλοῖ τὸ παρ' *Αἰλιανῷ* (περὶ ζῴων ΙΘ' 44) *τρισέωλος* («ῥινοκέρωτος εἶδος γράφειν τρισέωλόν ἐστιν» rhinocerotis figuram nimis frivolum esset describere), τοῦ *κατάπτυστος* τὸ *τρισκατάπτυστος* (*Πολυδ.* ΣΤ' 105), τοῦ *κατάρατος* τὸ *τρισκατάρατος* (*Δημοσθ.* κατ' Ἀριστογ. Α', 82), τοῦ **κοπανιστὸς* τὸ *τρισκοπάνιστος* (ἄρτος, Βατραχομ. 35), τοῦ *ὄλβιος* τὸ *τρισόλβιος* (*Ἀριστοφ.* Ἐκκλ. 1129,

---

[1]) Ὁ Σχολιαστὴς ὀρθῶς ἡρμήνευσε τὸ *τρισάποτμος* διὰ τοῦ *τρισθάνατος* (οὐχί: τρισιθάνατος) οἷον τρισθανής, τρὶς θανάτου ἄξιος· τὸ δὲ τοῦ Boissonade (ἐκδ. Λουγδ. τόμ. Β' σελ. 299) «voluit ne τρισαθάνατος» πρὸς τὴν ἔννοιαν τοῦ χωρίου ἄντικρυς μάχεται.

κτλ.), καὶ τοῦ *φιλητὸς* τὸ *τριφίλητος* («ὁ τριφ. Ἄδωνις, ὃ κἠν Ἀχέροντι φιλεῖται» *Θεοκρ.* ΙΕ', 86).

Ἀλλὰ τίνος ἕνεκα ὁ τρία ἀριθμὸς οὕτως ἱερὸς ἐνομίσθη, ἐξ ἧς ἱερότητος εἶτα ἡ πρὸς ἐπίτασιν δύναμις εὐκόλως ἐγεννήθη; Ὑπὸ πολλῶν ὁμολογεῖται ὅτι οἱ Πυθαγόρειοι πεντακόσια πρὸ Χριστοῦ ἔτη ταύτην τὴν τῶν ἀριθμῶν μυστικότητα ἢ συμβολικὴν δύναμιν εἰσηγάγοντο, ταύτην δὲ πολλοὺς αἰῶνας μετὰ τὴν ἡμετέραν χρονολογίαν βλέπομεν σῳζομένην. Ὁ δ' *Ἀριστοτέλης* παραδίδωσιν ἡμῖν (περὶ οὐραν. Α 1 = 268 α 10) ὅτι οἱ Πυθαγόρειοι ἔλεγον τὸ πᾶν κα τὰ πάντα τοῖς τρισὶν ὡρίσθαι· *τελευτὴ* γὰρ καὶ *μέσον* καὶ *ἀρχὴ* τον ἀριθμὸν ἔχει τὸν τοῦ παντός, ταῦτα δὲ τὸν τῆς τριάδος. διὸ παρὰ τῆς φύσεως εἰληφότες ὥσπερ νόμους ἐκείνης, καὶ πρὸς τὰς *ἁγιστείας* χρώμεθα τῶν θεῶν τῷ ἀριθμῷ τούτῳ [1]).

Τῶν Πυθαγορείων τούτων περὶ τοῦ ἀριθμοῦ *τρία* δογμάτωνὶ ἀνάμνησιν καὶ ἐπενέργειαν εὕροι ἄν τις καὶ παρὰ τοῖς ὕστερον συχνὴν καὶ πρόθυμον [2]). Αὐτίκα *Πλάτ.* ἐν Φιλήβ. 66 d εἰσάγεται Σωκράτη πρὸς Πρώταρχον λέγοντα «ἴθι δή, *τὸ τρίτον τῷ σωτῆρι* τὸν αὐτὸν διαμαρτυράμενοι λόγον ἐπεξέλθωμεν» καὶ ἐν Χαρμίδῃ 167,α «πάλιν τοίνυν, *τὸ τρίτον τῷ σωτῆρι*, ὥσπερ ἐξ ἀρχῆς ἐπισκοπώμεθα» (πρβλ. καὶ Πολιτ. Γ' 583 β) πρὸς ἃ οἱ Σχολιασταὶ ἐσημειώσαντο «ἐκ μετα-

---

[1]) Πρβλ. καὶ Σχολ. Θεοκρ. **Β' 43** ***τρίς***· παρόσον τέλειός ἐστιν ἀριθμὸς ὁ τρεῖς, ἀρχὴ ὤν, καὶ μέσα καὶ τέλος, ἔστι φύσει τρίγωνος· παραβλητέον καὶ τὸ τοῦ Πλάτωνος ἐν Φιληβ. 31, α «ἡδονὴ δὲ ἄπειρός τε αὐτὴ καὶ τοῦ μήτε ἀρχὴν μήτε μέσα μήτε τέλος ἐν αὐτῷ ἀφ' ἑαυτοῦ ἔχοντος μηδὲ ἕξοντός ποτε γένους». Ἀλλὰ καὶ ἄλλας τοῦ πράγματος ἀφορμὰς ῥάδιον ἦν ἐξευρεῖν. Τρία δήπου τινὰ συνορᾷ τις ἐν τῷ οὐρανῷ, τῇ γῇ καὶ ἐν τῇ θαλάσσῃ, εἶτα δὲ ἐν τῷ ἡλίῳ, σελήνῃ καὶ ἐν τοῖς ἀστράσι, ἐν τῷ νῦν καλουμένῳ «Βασιλείῳ» τῶν ζῴων, τῶν φυτῶν καὶ τῶν ὀρυκτῶν, ἐν τῷ μήκει, πλάτει καὶ ὕψει τῶν πραγμάτων, ἐν τῇ γενέσει, αὐξήσει καὶ ἐν τῇ φθορᾷ αὐτῶν (ἰδ. ἀνωτ.), καὶ ἐν τῇ διαιρέσει τέλος τοῦ χρόνου εἰς παρελθόν, παρὸν καὶ μέλλον· καὶ ὁ Ἐπίκτητος δ' ἔλεγε (Γ', ζ', 2) ὅτι τρία ἐστὶ περὶ τὸν ἄνθρωπον, ψυχὴ καὶ σῶμα καὶ τὰ ἐκτός. Μνημονευτέον δ' ἐνταῦθα ἐκ παρόδου καὶ τῆς παρὰ *Πλάτωνι* (Λυσ. 216, δ) διαιρέσεως καθ' ἣν «δοκεῖ ὡσπερεὶ τρία ἄττα εἶναι γένη, τὸ μὲν ἀγαθόν, τὸ δὲ κακόν, τὸ δ' οὔτ' ἀγαθὸν οὔτε κακόν» (πρβλ. καὶ 220,γ), καὶ τῶν ἐν Φιλήβῳ (43, γ) ***τριττῶν βίων*** ἑνὸς μὲν ἡδέος, τοῦ δ' αὖ λυπηροῦ, ἑνὸς δὲ μηδέτερα.

[2]) Περὶ τῆς δυνάμεως τῶν ἀριθμῶν παρὰ τοῖς Πυθαγ. ἰδ. *Gomperz*, Griech. Denker Α², 87 ἑξ. *M. Wundt*, Gesch. der gr. Ethik, Α', 142 καὶ *Überweg-Prächter*, Gesch. der altgr. Philos. ἔκδ. 11η (ἐν Βερολίνῳ 1920) σελ. 80. Πρβλ. καὶ *Roscher*, Altpythagoreismus σελ. 44 καὶ *Lobeck*, Aglaoph. 381 ἑξ.

φορᾶς εἴρηται τοῦ ἐν ταῖς συνουσίαις ἔθους· Σοφοκλῆς ἐν Ναυπλίῳ καταπλέοντι. ἐκιρνῶντο γὰρ ἐν αὐταῖς *κρατῆρας τρεῖς*. καὶ τὸν μὲν πρῶτον Διὸς Ὀλυμπίου καὶ θεῶν Ὀλυμπίων ἔλεγον, τὸν δὲ δεύτερον ἡρώων, τὸν δὲ τρίτον σωτῆρος, ὡς ἐνταῦθά τε καὶ δὴ καὶ ἐν Πολιτείᾳ. ἔλεγον δὲ αὐτὸν καὶ *τέλειον*, ὡς Εὐριπίδης Ἀνδρομέδᾳ καὶ Ἀριστοφάνης Ταγηνισταῖς»· καὶ «τὸ τρίτον τῷ σωτῆρι, ἐπὶ τῶν *τελείως τι πραττόντων*. τὰς γὰρ τρίτας σπονδὰς καὶ τὸν τρίτον κρατῆρα ἐκίρνων τῷ Διὶ τῷ σωτῆρι. *τέλειος γὰρ ὁ τρία ἀριθμός*, ἐπειδὴ καὶ ἀρχὴν καὶ μέσον καὶ τέλος ἔχει, καὶ πρῶτος οὗτος τῶν ἀριθμῶν ἀρτιοπέριττος». ἴδε *Ἡσυχ.* ἐν λ. καὶ *Φωτ.* Λεξ. *τρίτου κρατῆρος* (Β' σελ. 227 Naber) καὶ *Σουΐδ.* ἐν λ. καὶ Σχολ. Πινδαρ. Ἰσθμ. Ε' 10. Καὶ *Φιλόχορος* δὲ ἐν τῷ περὶ ἑορτῶν (*A. Tresp.* Die Fragm. der gr. Kultschriftsteller σελ. 78) τοῦ τρίτου κρατῆρος μέμνηται τὰ τοῦ Ἀριστοτέλους εἰδώς. Ἐκ τοῦ Φιλοχόρου δὲ πάλιν *Ἀθήναιος* τὰ ἑαυτοῦ συνήγαγε (ΙΕ' 692 f ἑξ.).

Εἰρήσθω δ' ἐνταῦθα ἐν παρόδῳ ὅτι οἱ Ἀθηναῖοι τὴν τρίτην τοῦ *μηνὸς* ἡμέραν ἀποφράδα ἐνόμιζον (*Εὐριπ.* Ἀλκήστ. 320: δεῖ γὰρ θανεῖν με, καὶ τόδ' οὐκ ἐς αὔριον· | οὐδ' εἰς *τρίτην μοι μηνὸς* ἔρχεται κακόν, | ἀλλ' αὐτίκ' ἐν τοῖς μηκέτ' οὖσι λέξομαι)· καὶ πολλαὶ μὲν τούτου αἰτίαι ᾐκάσθησαν, ἀλλὰ πᾶσαι φαίνονται ἀπίθανοι οὖσαι. Οὕτως ἐλέχθη ὅτι ἡ ἡμέρα αὕτη ἐνομίσθη ὑπὸ τῶν Ἀθηναίων ἀποφρὰς διὰ τὸν τῆς Ἀθηνᾶς φόβον, αὐτῆς ταύτης τῆς «πολιούχου Παλλάδος» καὶ «ἀνάσσης Ἀθηνᾶς»! Διὰ τοῦτο καὶ οἱ Ῥωμαῖοι βραδύτερον τὴν πέμπτην τοῦ μηνὸς (τὴν κατ' αὐτοὺς γενέθλιον τῆς θεᾶς) ἀποφράδα (dies ater) ἡγοῦντο (πρβλ. Σερούϊον εἰς Οὐεργιλ. Georg. I 277 καὶ περὶ τούτου καὶ τῶν ἄλλ. ἴδ. W. Schmidt, Geburtstag σ.109). Ὑπ' ἄλλων δ' ἔτι ἀπιθανώτερον ἐρρήθη ὅτι ἡ τρίτη ἡμέρα τοῦ μηνὸς ἐνομίσθη ἀπαίσιος ὡς γενέθλιος οὖσα τοῦ Ἄρεως· ἵνα δὲ τὸ ἀπαίσιον ταύτης μετριάσωσιν ἔταξαν εἰς τὴν τρίτην καὶ τὴν γενέθλιον ἡμέραν τῆς Ἀθηνᾶς. Ἡ δεισιδαιμονία αὕτη βραδύτερον ἐκ τῆς τρίτης τοῦ *μηνὸς* μετηνέχθη καὶ εἰς τὴν τρίτην ἡμέραν τῆς *ἑβδομάδος* (ἴδ. *R. Wünsch* Sethianische Verfluchungstafeln, 1898 σελ. 79 καὶ *A. Thumb* ἐν Zeitschr. f. dtsch. Wortf. I (1901) 171, 173), ἧς καὶ τὸν ἡγήτορα πλανήτην ἢ θεόν, τὸν *Ἄρην*, τὸν «κακοεργὸν» καὶ «κακομήχανον» ἀείποτε βλαβερὸν ἡγοῦντο (πρβλ.

Εὐστάθ. Παρεκδ. 32, 30 "Αρης ἀπὸ τοῦ *βλάπτειν* ὀνομασθῆναι δοκεῖ, ἐπεὶ καὶ βροτολοιγὸς ὁ αὐτός). Συμπιπτούσης δὲ τῆς ἀρχῆς τοῦ μηνὸς πρὸς τὴν τρίτην ἡμέραν τῆς ἑβδομάδος ὁ μὴν ἀπρόσφορος πρὸς πᾶν ἔργον ἐνομίζετο («ἴσχεο δ' ἔργων» Ὀρφ. ἀποσπ. 26). Καὶ μέχρι καὶ τοῦ νῦν χρόνου ἡ Τρίτη ἡμέρα τῆς *ἑβδομάδος* παρὰ τοῖς νεωτέροις Ἕλλησιν ἀπαίσιος νομίζεται, καὶ εἰς τὴν κατ' αὐτὴν γενομένην μεγάλην ἔφοδον τῶν Τούρκων κατὰ τῆς Κωνσταντινουπόλεως ἐπανεφέρετο ὑπὸ τῆς Βυζαντιακῆς δεισιδαιμονίας ἡ πτῶσις τῆς νῦν που ἀπελευθερωθησομένης Βασιλευούσης.

Καὶ ἐν τῇ καθ' ἡμᾶς τοίνυν Ἑλληνικῇ φωνῇ λέγεται *τρισκατάρατος* [1]) ἢ *τρισκαταραμένος* (*Passow*, Carm. 636), *τρισμέγιστος*, *τρισαφόρεστος* (ἐν Οἰνόῃ), *τρισάθλιος* [2]), *τρίβουλος* ὁ εὐμετάβολος τὴν γνώμην (ὦ δίβουλε, ὦ τρίβουλε, *Passow* ἔνθ.ἀν. Distich. 1097), *τρίκαλα* (ἐν Κρήτῃ), *τριπύρινος* ὁ λίαν θερμός, *τρισεύγενος* (ἐν Κεφαλληνίᾳ, πρβλ. ἡ *Τρισεύγενη*), *τρισμακάριστος* κτλ. [3]) ἔνθα τὸ *τρὶς* (=πολὺ) ἐπιτείνει τὴν δύναμιν τοῦ ἐπιθέτου. Σφόδρα δὲ δυσχερής ἐστιν ἡ δήλωσις τοῦ ὁρίου τῆς Ἑλληνικῆς καὶ τῆς Χριστιανικῆς χρήσεως τοῦ ἀριθμοῦ τούτου [4]).

---

[1]) Ἤδη τοῦτο παρὰ *Δημοσθένει* κατ' Ἀριστογ. Α' 82 εὕρηται: «ὁ *τρισκατάρατος* ὁ κοινὸς ἐχθρὸς ὁ πᾶσι δυσμενής»· ἴδ. καὶ ἀνωτ. βραδύτερον δὲ καὶ παρὰ *Λουκιαν.* Ἀλεξ. ἢ ψευδομ. 31 «ἀλλὰ καὶ μηχανᾶταί τι ὁ τρισκατάρατος οὐκ ἄσοφον».

[2]) *Σοφ.* Οἰδ. Κ. 372 τρὶς ἄθλιος. Ὁ *Porson*, Προλογ. εἰς Εὐρ. Ἑκ. σελ. 30 ἐκδ. Λιψ., τὰ τοιαῦτα ἐπίθετα διαλελυμένα ἔγραφε.

[3]) Παρὰ *Προδρόμῳ* Α, 269 κτλ., ἐκδ. Hesseling-Pernot, εὕρηται καὶ *τρισαλιτήριος* (ἴδ. ἀνωτ.), καὶ *τριπίνακος* (Γ' 104 «μαγειρεία τρ.») καὶ *τρισκράτιστος* (Δ' 277 «κράτος τρ.» πρβλ. καὶ 292 g) καὶ *τρι(σ)πίθαμος* (Γ' 153 «καὶ κέφαλος *τριπίθαμος* αὐγᾶτος ἐκ τὸ 'Ρήγιν») ἐν τῇ σημασίᾳ *μέγας*· τοῦτο ἐν τῇ δημώδει λαλιᾷ λεγόμενον περὶ ἀνθρώπου δηλοῖ τὸν ἔχοντα βραχὺ τὸ τοῦ σώματος μέγεθος, τὸν βραχὺν (βραχὺς τὴν μορφὴν *Πίνδ.* Ἰσθμ. Δ' 89), τὸν κοινῶς λεγόμενον «κοντόν».

[4]) Περὶ τοῦ *τρία* ὡς ἀριθμοῦ συστήματος ἀρχαίων θεῶν (τριάδος) καὶ καθ' ὅλου ἱεροῦ ἀριθμοῦ ἴδε τὴν μακρὰν καὶ ἐμβριθῆ μελέτην «Dreiheit» τοῦ *Usener* τὴν καταχωρισθεῖσαν ἐν τῷ περιοδ. συγγρ. «Rheinisches Museum» τόμ. ΝΗ' (1903) σελ. 1-47, καὶ 161-208, καὶ 321-362, ἐν ᾗ εὕρηνται καί τινα καὶ περὶ τῶν ἄλλων συμβολικῶν καὶ τυπικῶν λεγομένων ἀριθμῶν· πρβλ. καὶ *Gruppe*, Griech. Mythol. Β', 1088 σημ. 3, ἴδὲ καὶ *Th. Neidhardt*, Über Zahlungssymbolik der Griechen und Römer. I Heft: Die Drei- und Neunzahl, Fürth, 1895 (II Heft: Zwölf- und Siebenzahl, F. 1896) σελ. 3-33. Τοῦτο τὸ βιβλίδιον δυσεύρετον λίαν ὂν ἔλαβον παρὰ τῆς ἐν Μονάχῳ Βιβλιοθήκης τοῦ Κράτους (Ant. 272 e). Μνημονευτέον τέλος καὶ τῆς δημώδους διαλέξεως Zahlungssymbolik τοῦ

Ἐν τῷ ὑπὸ τοῦ *Πασπάτη* συντεταγμένῳ «Χιακῷ Γλωσσαρίῳ» σελ. 363 φέρεται: «*τριμύσταρον* ἀντὶ τριμυστήριον ἐν τῇ ἐννοίᾳ ἀκατανόητον, φρικτόν, τρομερόν». Σημείωσαι τὴν μεγεθυντικὴν λεγομένην κατάληξιν -αρον (ἀντὶ -ηρον), ἣν καὶ ἐπ' ἄλλων λέξεων τῆς δημώδους φωνῆς εὑρίσκομεν συχνήν.

Μνημονευτέον τέλος καὶ τῶνδε: *τρικάλαμος* ὁ ἄγαν φωτεινὸς λαμπρὸς (ἐν Ἀμισῷ), **τρικαψίδιν** (τὸ) περὶ δυσηνίου παιδὸς τοὺς ἑαυτοῦ γονέας ταλαιπωροῦντος (*τρικέφαλον δφείδ'*, ἐν Πόντῳ), *τρικέρης* (ἐν Κεφαλληνίᾳ) ἐπὶ συζύγου οὗ ἡ γυνὴ ὑπὸ πολλῶν μοιχεύεται· *τρικοίλης* ἐν Πάρῳ καὶ Σμύρνῃ λέγεται ὁ γάστρων, *τριλόχι* (ἐν Κεφαλληνίᾳ) ὁ σφοδρὸς ἄνεμος, **τριμμάτης** (ἐν Κυθήροις) ὁ κοινῶς λεγόμενος *ἀνοιχτομμάτης*, ὁ πανοῦργος καὶ ὀξὺς τὴν διάνοιαν (πρβλ. κατωτέρω *ἑφτάπατος*).

Τούτοις προσθετέον τό τε ἐκ τοῦ ἐπιρρήματος *τριγύρω* ἐσχηματισμένον συνηθέστατον ῥῆμα *τριγυρίζω* (περιτριγυρίζω) ἢ *τριγυρνῶ* ὅπερ δηλοῖ περιπλανῶμαι, περιέρχομαι ἀσκόπως, περιφέρομαι, περιπολῶ [1]) καὶ τὸ **τριποδῶ** λεγόμενον, ὅσον γ' ἐμὲ εἰδέναι, ἐπὶ τοῦ ἐκ πόνου ἢ ὑπὸ χαρᾶς ἀλλομένου [2]). Τρι- tri- καὶ ἐν τῇ Λατινικῇ εἰς

Moritz Cantor, τῆς ἐκδοθείσης ἐν τοῖς Neue Heidelberger Jahrbücher τόμ. Ε', (1895), σελ. 25–45, καὶ τῶν ὑπὸ τοῦ *Karl Marbe* περὶ τῶν ἀριθμῶν λεγομένων ἐν τοῖς Grundzüge der forensischen Psychologie (ἐν Μονάχῳ, Beck) 1913.

[1]) Τὰ παρὰ *Simon Portius* publ. par W. Meyer σελ. 229 λεγόμενα περὶ τοῦ τρί- ὡς ἴσως ἐκ τοῦ *τρίγωνος* οὐδαμῶς ἔχουσιν ὀρθῶς. Παρὰ *Μαυροφρύδῃ* Ἐκλογ. μνημ. σελ. 331 ἔχομεν καὶ ῥῆμα *τριοκοποῦμαι* («ὁ νοῦς μου εἰς τοιαύτην μέριμναν *ἐτριοκοπᾶτον*») σημαῖνον βασανίζομαι, τυραννοῦμαι, ἐν τῇ αὐτῇ δέ που σημασίᾳ εὑρίσκω παρὰ *Σακελλαρίῳ*, Κυπριακῶν τόμ. Γ' (Ἀθ. 1868) σελ. 404 τὸ **τριβικιάζομαι** (=στενοχωροῦμαι, μικροψυχῶ). Ἐν τούτοις οὐ τὸ **τρία** ἀλλὰ τὸ **τρίβω** ὑπόκειται. Ἐν Σύμῃ λέγεται **τριβιδιάζ(ξ)ομαι** σημαίνει δὲ «ἀνατριχιάζω» φόβῳ φρίττειν.

[2]) Ὑπεκστῆναι νῦν βούλομαι τὸν ἐπιφερόμενον λόγον περὶ τῶν μετὰ τοῦ **τετρα-** (τέσσαρα) καὶ **ἑξα-** (ἕξ) συνθέτων, ὧν σύντομον μνείαν ποιεῖται *John Schmitt* ἐν Byz. Zeitchrift B' 216 σημ. «Περὶ τῆς *κατὰ δώδεκα* ἀπαριθμήσεως» ἔγραψε πραγματείαν ὁ ἀοίδιμος *Κοραῆς* (Ἄτ. Γ', 425—436) ἐν ᾗ ἐξετάζεται τὸ «πόθεν εἰσέβη καὶ εἰς ἡμᾶς, καὶ εἰς ὅλα τὰ Εὐρωπαῖα ἔθνη ἡ ἄλογος συνήθεια τῆς κατὰ δώδεκα ἀπαριθμήσεως, τῆς κοινῶς ὀνομαζομένης **δοζίνας**, ἀντὶ τῆς φυσικῆς δεκάδος» εὑρίσκει δ' ὁ Κοραῆς πιθανώτατον «ὅτι τὰ γενέθλιά της εἶναι Αἰγυπτιακά. Ἀπὸ τὴν Αἴγυπτον καὶ τὴν Φοινίκην ἐπέρασε πρῶτον εἰς τοὺς Ἕλληνας, καὶ ἀπὸ τούτους καθεξῆς εἰς τοὺς Ῥωμαίους καὶ εἰς τὴν λοιπὴν Εὐρώπην, ὅπου διαμένει ἀκόμη εἰς πολλά της μέρη». Ἰδὲ καὶ τὸ βιβλίδιον τοῦ *Konrad Nagel*, Untersuchungen zur Geschichte der Zwölfzahl ὃ ἐγὼ οὐχ οἷός τε ἐγενόμην ἰδεῖν. Οὐδὲν δὲ

δήλωσιν σφοδρᾶς ἐπιτάσεως ἔχομεν ἐν τοῖς τοῦ *Πλαύτου* *trifur* (Aul. 4, 4, 6 non fur, sed trifur) *trifurcifer* (Aul. 2, 4, 47), *triparcus* (Pers. 2, 3, 14), *trivenefica* (Aul. 1, 2, 8). Πρὸς δὲ ἐν τῷ *Triphallus* (Auct. Priap 83, 9), ἐν τῷ ἐπιθέτῳ τοῦ Αἰγυπτιακοῦ Ἑρμοῦ *Trismegistus* (Lactant. 1, 6, 3. καὶ 6, 25, 10· ἴδε καὶ *R. Reitzenstein*, Poimandres, σελ. 2 ἑξ.) καὶ ἐν τῷ Trimalchio τοῦ Πετρωνίου (ἴδ. Friedländer σελ. 209). Περὶ τῆς Ἀθηνᾶς τῆς *τριτογενοῦς* καὶ *Τριτογενείας* καλουμένης βλ. κατωτέρω [1].

Ὅτι δὲ τὸ ἀριθμητικὸν ***πέντε*** ἐν συνθέσει τοιαύτην ἐπιτατικὴν σημασίαν ἐν τῇ καθ' ἡμᾶς Ἑλληνικῇ γλώσσῃ προσέλαβεν, αἴτιον τούτου τὴν σύγχυσιν αὐτοῦ πρὸς τὸ *πᾶς*, *πάντ-* γεγονέναι, πᾶς τις ἂν δικαίως ὁμολογήσειε [2]. Τῆς χρήσεως ταύτης τοῦ *πέντε* δηλωτικώτατον παράδειγμα ἔχομεν ἐν τῷ τῶν παλαιῶν ***πενταχόρωνος***, (πρβλ. Lobeck εἰς Φρύν. 413 καὶ ***Brugmann-Thumb***, Gr.

πρὸς τὸ ἐμὸν θέμα παρέχει ἡ τοῦ *T. Maretic* πραγματεία Die typischen Zahlen in der russischen Volksepik ἐν τῷ Archiv für slavische Philologie τόμ. ΚΕ' σελ. 452 — 462 ἣν τότε μὲν ἠγνόουν, καὶ νῦν δὲ ταύτης ἀμελῶ παρὰ τὴν ἐπιθυμίαν ἐπαινέτου ἄλλως κριτικοῦ.

[1]) Περὶ τοῦ ἀριθμοῦ ***τρία*** ἴδε καὶ ***Fr. Boll***, Die Lebensalter σελ. 8-11.

Περὶ τοῦ «ἀριθμοῦ 3 ἐν τῷ δικαίῳ» διέλαβε παρ' ἡμῖν ὁ Νικ. Π. Δημητρακόπουλος ἐν «Ἐφημερίδι τῆς Ἑλληνικῆς καὶ Γαλλικῆς Νομολογίας» ἐκδιδ. ὑπὸ Σ. Κ. Μπαλάνου τόμ. 27ῳ (1907) σελ. 49-80. Καὶ ἐν μὲν τῷ προοιμίῳ λέγει τινὰ περὶ τῆς «ἐν τῷ δικαίῳ χρησιμοποιήσεως τῶν ἀριθμῶν» καὶ τῶν «ἰδίων καὶ περιέργων μορφολογικῶν νόμων τῶν ἐν τῷ θετικῷ δικαίῳ ἀπαντώντων» ποιεῖται δὲ καὶ μνείαν βιβλίου ἄλλοθεν ἐμοὶ ἀγνώστου ***D. Marchand***, La Science des Nombres d'après la tradition des siecles 1877». Περὶ τοῦ ἀριθμοῦ τρία σημειοῦται ὅτι οὗτος «εἴτε ὡς ἀκέραιος εἴτε ὡς κλασματικός, εἴτε ἁπλοῦς εἴτε ἐν συνθέσει, εἴτε φαινόμενος εἴτε λανθάνων, εἶναι ὁ κατ' ἐξοχὴν προνομιοῦχος ἀριθμός, ἐν τῷ καθορισμῷ τοῦ χρόνου κατὰ τὰς ποικιλωτάτας αὐτοῦ χρήσεις, ἐν τῷ κανονισμῷ τῶν διαφόρων ποσοτήτων, καὶ ἡ κυριαρχοῦσα ἀριθμητικὴ μορφὴ καθ' ἁπάσας τὰς σχέσεις καὶ ἀναφορὰς τῆς νομοθεσίας πρὸς τοὺς ἀριθμούς». Ἐν τῷ μετὰ τὸ προοίμιον κεφαλαίῳ «ὅ,τι προκύπτει ἐκ τῶν νομοθετικῶν κειμένων» ἐξετάζεται ἐπιμελῶς ἡ τοῦ ἀριθμοῦ τρία χρῆσις καὶ συντυχία ἐν τοῖς κειμένοις νῦν ἑλληνικοῖς νόμοις μετὰ παρεκβάσεως περὶ τοῦ τρία ἐν τῇ ἱστορίᾳ τοῦ ῥωμαϊκοῦ δικαίου. Τὰ μετὰ ταῦτα κεφάλαια Β' «Ἱστορικὴ καὶ φιλοσοφικὴ ἔρευνα» καὶ Γ' «Ἐποικοδόμησις» εἰσὶν ἀτελέστατα καὶ στοιχειώδους μόνον ἐρεύνης ἀπογεννήματα· καὶ ὀλίγα μέν τινα τῶν χωρίων τῶν ἀρχαίων συγγραφέων ἁπλῶς ἐν τῷ Β' κεφαλαίῳ ἀναφέρονται, ἀγνοεῖται δ' ὡς μὴ ὤφελε πάντη ἡ τοῦ Usener θεμελιώδης μελέτη, ἐν ᾗ ἄλλα τε καὶ νομικὰ ὠφελήματα εὑρίσκει ὁ νομικὸς ὁ ταύτην πρὸς ἴδιον ὄφελος ἀναγιγνώσκων.

[2]) Πρβλ. ***Πρόδρομ.*** Β' 2 «ὁ πένης ὁ ***παντάπορος*** ὁ περιστατημένος».

Gramm. σελ. 198 καὶ 250), ὁ πεντάκις κορώνης μακροβιώτερος (πρβλ. τὸ τοῦ *Πολυδ.* Β΄ 16 ὁ ὑπὲρ τὰς κορώνας βεβιωκώς), γνωστὸν δ' ἐστι καὶ τὸ *τρικόρωνος* (Παλατ. *'Ανθολογ.* Ε΄ 288 ἡ γραῦς ἡ τρικόρωνος — ἄγριον ἦτορ ἔχει, κτλ.) ἐν τῇ αὐτῇ που σημασίᾳ εἰρημένον. 'Αμφότερα δὲ ὑπαινίσσονται τὸ Ἡσιόδειον (Χίρωνος ὑποθήκ. 170 (182), πρβλ. Rzach ἐν μείζ. ἐκδ. σελ. 201) «ἐννέα τοι ζώει γενεὰς λακέρυζα κορώνη | ἀνδρῶν ἡβώντων· ἔλαφος δέ τε τετρακόρωνος | τρεῖς δ' ἐλάφους ὁ κόραξ γηράσκεται· αὐτὰρ ὁ φοῖνιξ | ἐννέα μὲν κόρακας» κτλ. Μνημονευτέα δ' ἐν προσθήκης μέρει καὶ ἡ ἐν τῇ παλαιᾷ γλώσσῃ παροιμία «ἐν πέντε κριτῶν γούνασι κεῖται» οἷον ἐν ἀλλοτρίᾳ ἐξουσίᾳ ἐστιν, παρ' ὅσον πέντε κριταὶ τοὺς κωμικοὺς ἔκριναν. Οὕτω δὴ εἰρῆσθαι συμβέβηκε τό τε *πεντάμορφος* (ὁ *πανεύμορφος*, ὃ παρὰ *Τζέτζῃ* 'Ιστορ. Ε΄ 949 εὕρηται, καὶ *παντόμορφος* ἐν *Σοφοκλ.* 'Αποσπ. 548 Dindorf κτλ. καὶ *Grenfell*, Greek *Papyri* 49. 20[1]), καὶ *πεντάρφανος* (παρὰ *Σομαβέρᾳ* 306 ἀνομοιώσει *παντάρφανος*) ὃ παντόρφανός ἐστι. Τοῦτο δὲ καὶ εὕρηται παρὰ *Σπανέᾳ* στίχ. 34 (Wagner, CGMA σελ. 3), ἀνθ' οὗ τὸ Λογειαριτικὸν ἀπόγραφον (ἐκδ. ὑπὸ *Σπ. Π. Λάμπρου* ἐν Δελτ. 'Ιστορ. καὶ 'Εθν. 'Εταιρ. τόμ. Ε΄ (1896) στίχ. 46 παρέχει ἡμῖν τὸν τύπον *πεντάρφενος*. Τὸ δὲ *πεντάγνωμος* ἐν μὲν τῇ Κρήτῃ δηλοῖ τὸν εὐμετάβλητόν τε καὶ ἀστάθμητον (οἷον ἐν τῷ διστίχῳ «Ὁ Μάρτις ὁ *πεντάγνωμος* | πέντε φορὲς ἐχιόνισε | καὶ πάλιν τὸ μετάγνωσε | πῶς δὲν ἐξαναχιόνισε), ἐν Ἠπείρῳ δὲ τὸν συνετώτατον. Οὐ δεῖ δὲ παραλιπεῖν καὶ τὰ *πεντέρημος* (=ὁ πάντ' ἔρημος) καὶ *πενταπλουμισμένος* ὁ πολυποίκιλός τε καὶ πάγκαλος («ἐπήραμε τὴν πέρδικα τὴν πενταπλουμισμένη | κ' ἀφήκαμε τὴ γειτονιὰ 'σὰν χώρα κουρσεμένη» γαμήλιον ᾆσμα ἐν Κρήτῃ) καὶ *πεντάκαλος* (ἐν Ἠπείρῳ, ὁ κατὰ πάντ' ἀγαθός). Παρὰ *Passow* PCGR σελ. 498 εὕρηται καὶ ἐπίθετον *πεντοκάνουλος* («βρυσοῦλα *πεντοκάνουλη* νερό μου χαηδεμένο | ἀγγελικό μου πρόσωπο

[1]) Ἰδὲ καὶ **Φ. Κουκουλέν**, Παρατηρήσεις καὶ διορθώσεις εἰς Ἑλλην. Παπύρους, Ἀθήνησι, 1911, σελ. 17.—Ὑπομνηστέον ἐνταῦθα ὅτι τὸ ***παντόμορφος*** τοῦ Σοφοκλ. ἀποσπάσματος (τὰ χφα ἔχουσιν ***παντάμορφος***) ἀναφέρεται εἰς τὴν Θέτιν, ἣ διωκομένη ὑπὸ τοῦ Πηλέως μετέβαλλε τὰς μορφάς, ὁτὲ μὲν εἰς πῦρ, ὁτὲ δὲ εἰς θηρία (Σχολ. Πινδ. Νεμ. Γ΄ 60). —Ἐν Ἄνδρῳ λέγεται *εφτάμορφος*=πεντάμορφος.

πῶς εἶσαι πικραμένο;»), τ. ἔ. ὁ ἔχων πέντε «κάννουλες», καλαμίνους «κρουνοὺς» οἱονεὶ πεντάκρουνος[1]. Ὑπομιμνήσκει δὲ τοῦτο ἡμᾶς τὸ ἀρχαῖον ἐκεῖνο Ἐννεάκρουνος περὶ οὗ ἴδε Pauly-Wissowa-Kroll τόμ. Γ' στηλ. 1669 ἑξ. καὶ *Alb. Dieterich*, Kl. Schr. σελ. 353. Ἰδίας δ' ἄξιον μνείας ἐστιν ὅτι τῷ ἀριθμητικῷ *πέντε* ἐχρῶντο οἱ παλαιοὶ εἰς δήλωσιν μικροῦ καὶ ἀορίστου πλήθους, ἔστι δ' ὅτε καὶ πράξεως ἐνίοτε ἢ καὶ πολλάκις ἐπαναλαμβανομένης. Ἐγένετο ἤδη ἀνωτέρω λόγος περὶ τοῦ Ἀριστοφανείου Εἰρ. 242 ἰὼ Πρασιαὶ τρισάθλιαι καὶ *πεντάκις* καὶ πολλοδεκάκις· καὶ ὁ Ἰσοκράτης δ' ὁμοίως ἐν Φιλίππῳ 5 συμβουλεύει τῇ αὐτοῦ πόλει φεύγειν τοιαύτας ἀποικίας (οἷα ἡ Ἀμφίπολις) «αἵτινες τετράκις καὶ πεντάκις ἀπολωλέκασι τοὺς ἐμπολιτευθέντας». Λίαν δὲ τῷ προκειμένῳ πρόσφορόν ἐστι τὸ παρὰ Ἡρώνδᾳ (Προκυκλ. ἢ Μαστροπ. 9 ἑξ.) ὑπὸ τῆς Μητρίχης πρὸς τὴν Γυλλίδα λεγόμενον «τί σὺ θεὸς πρὸς ἀνθρώπους; | ἤδη γάρ εἰσι *πέντε* κου δοκέω μῆνες, | ἐξ οὗ σε, Γυλλίς, οὐδ' ὄναρ, μὰ τὰς Μοίρας | πρὸς τὴν θύρην ἐλθοῦσαν εἶδέ τις ταύτην» ἔνθα ἐν τῇ νῦν λαλουμένῃ Ἑλληνικῇ γλώσσῃ «ἕξ μῆνες» ἂν εἴποις. Παρὰ τῷ Μενάνδρῳ (Ἐπιτρεπ. 202) ὁ Ὀνήσιμος λέγει ὅτι ὥρμηκε πλεῖν ἢ πεντάκις τὸν δακτύλιον δεῖξαι τῷ δεσπότῃ τ. ἔ. πολλάκις. Πολυπαθές δ' ἐστι τὸ τοῦ Ἀποστόλου Παύλου χωρίον πρὸς Κορινθ. Α' 14,19 «ἐν ἐκκλησίᾳ θέλω *πέντε* (=ὀλίγους) λόγους τῷ νοΐ μου λαλῆσαι, ἵνα καὶ ἄλλους κατηχήσω, ἢ μυρίους λόγους ἐν γλώσσῃ». Ἁπλῶς δ' ἐπιτείνει τὸ *πέντε* ἐν τοιούτοις χωρίοις οἷα τὰ τῆς Παλατ. Ἀνθολ. ΙΑ' 320,2 «ὁ τλήμων Ἴρου πέντε πενιχρότερος» καὶ ἔνθ. ἀν. 207 περὶ πεινῶντος ὃς ἐσθίει «ὅσα πέντε λύκοι». Πλείω τῆς σημασίας ταύτης παρέχει ἡ ἐν τῇ τῶν Ῥωμαίων Γραμματείᾳ

---

[1] Τὰ περὶ τὸ ***πεντάνευρον*** ἢ ***πεντανεῦρι*** (*Plantago major* L., Γερμ. **Wegerich**) ἴδ. παρὰ ***Χελδράϊχ-Μηλιαράκη***, Τὰ δημώδη ὀνόματα τῶν φυτῶν, σ. 76, καὶ πρβλ. ***Κοραῆν***, ἐν Ἀτάκτ. **Δ' 406** ἔνθα πλὴν ἄλλων σημειοῦται ὁ ἀοίδιμος ἀνὴρ «τὸ μεῖζον (πεντάνευρον) ὠνομάσθη καὶ ***πολύνευρον*** καὶ ***πεντάπλευρον*** (**plantain commun** ἢ **grand plantain**), διότι ἀληθῶς φέρει φύλλα χαραγμένα μὲ ἑπτὰ νευροειδεῖς χαραγάς» — Περὶ προθεσμιῶν πέντε ἡμερῶν, πέντε ἐτῶν κτλ. παρ' Ἕλλησιν ἴδ. ***Roscher***, Siebenzahl σελ. 101 ἑξ. Ἐλέχθη δ' ἐν τῇ νεωτέρᾳ Ποντικῇ διαλέκτῳ καὶ ***πεντικὸς*** ἀντὶ ***ποντικὸς*** κατὰ παρετυμολογίαν, περὶ οὗ ἴδε ***Δημ. Οἰκονομίδην*** ἐν Λεξικογραφ. Ἀρχείῳ τόμ. Ε' (1920) σελ. 199.

χρῆσις τοῦ quinque, μάλιστα δ' ἐν τῇ Σατίρᾳ, τῇ ἐνασμενιζούσῃ τῇ τοῦ λαοῦ γλώσσῃ [1].

Γ' Ο ΑΡΙΘΜΟΣ ΕΠΤΑ ΕΝ ΤΗ ΛΑΤΡΕΙΑ ΚΑΙ Η ΓΝΩΣΙΣ ΑΥΤΟΥ ΕΝ ΕΛΛΑΔΙ. ΑΙΤΙΑ ΤΗΣ ΙΕΡΟΤΗΤΟΣ ΑΥΤΟΥ.

Περὶ τοῦ ἀριθμοῦ **ἑπτὰ** ἐν τῷ μύθῳ καὶ ἐν τῇ λατρείᾳ τῶν Ἑλλήνων διέλαβεν οὐ πρὸ πολλῶν ἐτῶν καὶ μάλα εἰδότως καὶ σαφῶς καὶ μετὰ μεγάλης πολυμαθίας, μετερχόμενος καὶ διὰ σπουδῆς ἔχων ταύτας τὰς ἀπὸ πολλοῦ εὐδοκίμως ἀρξαμένας θρησκευτικὰς ἅμα τε καὶ ἱστορικὰς αὐτοῦ μελέτας ὁ *W. H. Roscher*, ἀνὴρ λογιώτατος, ἐν δυσὶ μάλιστα πραγματείαις ἐπιγραφομέναις «Zur Bedeutung der Siebenzahl im Kultus und Mythus der Griechen» ἐν τῷ περιοδικῷ συγγράμματι Philologus τόμ. Ξ' (1901) σελ. 360-371 [2] καὶ Die enneadischen und hebdomadischen Fristen und Wochen der ältesten Griechen» ἐν ταῖς «Abhandlungen» κτλ. τόμ. ΚΑ' (1903) σελ. 1-92 [3]. Ταύτας οὖν τὰς ἐπ' ἄλλο

---

[1]) Ἰδὲ περὶ τούτου καὶ τῶν προειρημένων *Th. Birt*, ἐν Rh. Mus. Ο' (1915) σελ. 255 ἑξ. καὶ *Friedländer* εἰς Ἰουβεναλ. Σατ. Δ', 11, 206. Καλὸν δ' ἡγοῦμαι παραθέσθαι ἁπλῶς τινα χωρία ἐνταῦθα. *Ὁρατ.* Σατ. Α' 3,16 quinque diebus nil erat in loculis. Ἐπ. Α' 7, 1 quinque dies tibi pollicitus me rure futurum κτλ. Σατ. Β' 3, 289 mater ait pueri mensės iam quinque cubantis. Σατ. Α' 6 108 praetorem quinque sequuntur te pueri («μερικοί»). Ἀλλ' ἐν Ἐπιστ. Α' 6,43 quinque milia chlamydum = πολλαί (παρὰ *Πλουτ.* Λουκ. 39 τοῦ δ' ἑκατὸν ἀρκέσειν φήσαντος ἐκέλευσε λαβεῖν *δὶς* τοσαῦτα). *Martial.* Α' 26,1. Η' 67,1. ΙΑ' 107,4, κτλ. *Gaius* Digg. Β' 11,8 post tres aut quinque pluresve dies. Script. Hist. Aug. Hadr. 22, 14 quando in Africam venit (ὁ Ἀδριανός), ad adventum eius post quinquennium (!) pluit.

[2]) Αὕτη ἡ μελέτη ἐξεδόθη πολλῷ πληρέστερον καὶ ἀκριβέστερον ἐν ταῖς «Abhandlungen der Königl. Sächsischen Gesellschaft der Wissenschaften», Phil.-hist. Classe, τόμ. ΚΔ' (1904) σελ. 1-126, ἐπιγέγραπται δὲ «Die Sieben- und Neunzahl im Kultus und Mythus der Griechen».

[3] Ἄλλας τινὰς τοῦ λογίου ἀνδρὸς ἐργασίας συγγενεῖς πρὸς τὸ ἡμέτερον θέμα ἰδ. ἐν τῇ Βιβλιογραφίᾳ, πρβλ. περὶ πασῶν τούτων τῶν ἐργασιῶν βραχεῖαν κρίσιν ὑπὸ *Ν. Γ. Πολίτου* ἐν «Λαογραφίας» Γ' 336-338 καὶ κρίσιν περὶ τοῦ Ἱπποκρατείου ἔργου διὰ μακροτέρων ὑπὸ *H. Diels* ἐν Deutsche Literaturzeitung, 29 Ἰουλίου 1911 (στήλ. 1861-66). Παραβλητέαι ὁμοίως καὶ αἱ ἑξῆς ἐργασίαι τοῦ Roscher ἐν Philologus 1900, σελ. 21 ἑξ. καὶ 1902, σελ. 513 ἑξ., Hermes 1901, σελ. 470. Archiv für Religionswiss. ΣΓ'. 64 ἑξ. καὶ τὰ ἐν τῷ Μυθολογ. αὐτοῦ Λεξικῷ συγγενῆ ἄρθρα.

γενομένας μελέτας ὁμολογητέον λυσιτελῆ διδάγματα καὶ τῇ ἡμετέρᾳ μελέτῃ παρεσχηκέναι, ἐφ' ὃ ἂν μέρος ἀμφότεραι αἱ προαιρέσεις ἀλλήλων ἅπτωνται. Καὶ ἐν τούτοις δέ τινα (καὶ ταῦτα οὐκ ὀλίγα) ὑφ' ἡμῶν τὸ πρῶτον παρατηρηθέντα καὶ ἀναγραφέντα εὑρήσονται οἱ ἀκριβέστερόν τε καὶ φιλοτιμότερον παρ' ἀλλήλας τὰς πραγματείας ἀναγνωσόμενοι. Κοινῶν γὰρ καὶ φανερῶν τῷ ἐπαΐοντι τῶν πηγῶν οὐσῶν, ἄλλος ἄλλοις τὰ αὐτὰ ἑρμηνεῦσαι ἂν δύναιτό τε καὶ τὴν αὑτοῦ γνώμην δηλῶσαι οὐκ ἂν ἀποσταίη. Συνείλεκται δέ μοι ἡ ὕλη, ὡς τὰ πολλά, ἰδίᾳ περὶ τὸ ζήτημα σπουδάζοντι καὶ οὐ ξένῳ τινι ἔργῳ ἀμούσως καὶ ἀμαθῶς προσκειμένῳ.

Ἔτι δὲ ἰδίας καὶ λαμπρᾶς μνείας ἄξιόν ἐστι τὸ ἐν τῇ RE τοῦ Pauly-Wissowa-Kroll ἄρθρον Hebdomas τοῦ Franz *Boll* καὶ ἡ πραγματεία αὐτοῦ Die Lebensalter (ἰδ. Βιβλιογραφίαν ἐν ἀρχῇ).

Ἐρωτᾶται τοίνυν κατ' ἀρχὰς πόθεν ἄν τις εἰκάσειε τὴν χρῆσιν τοῦ ἀριθμοῦ ἑπτὰ ἐν τῇ Ἑλληνικῇ γλώσσῃ ἐπὶ πλήθους καὶ μεγέθους καὶ ἐπιτάσεως καὶ τῶν τοιούτων ὡρμῆσθαι. Εἶτα δὲ τίνος ἕνεκα ἄλλων ἀριθμῶν ἀρτίων καὶ εὐκολωτέρων καὶ τὸ δὴ λεγόμενον «στρογγυλωτέρων» (ἕξ, ὀκτώ, δέκα κτλ. [1]) σπανία ἐστὶ ἢ καὶ ὅλως

---

[1]) Τοῦ ἀριθμοῦ ἑκατὸν ἡ χρῆσις ἐπὶ πλήθους ἑρμηνεύεται μόνον ἐκ τοῦ πολλοῦ τοῦ ἀριθμοῦ αὐτοῦ πρβλ. *Διόδ.* Α, 45 «(Θήβας, πόλιν) ***ἑκατόμπυλον*** ὠνομάσθαι καθαπερεὶ ***πολύπυλον***», καὶ τὸ Ὁμηρ. ***ἑκατόμβη*** (ἤδη ἐν Ἰλ. Β, 93, 115 ἑκατόμβη ἐκ δώδεκα μόνων βοῶν), περὶ οὗ τε καὶ ἄλλων ὁ Εὐστάθιος σημειοῦται (49,14) «ἄλλοι δὲ εἰς ἀοριστίαν τὸν λόγον ἐξαγαγόντες καὶ τὸ ***ἑκατὸν ἀντὶ τοῦ πολλὰ*** νοήσαντες ἀορίστως ***ἑκατόμβην*** φασὶ τὴν ἐκ πολλῶν ἁπλῶς ζῴων, οἷα τὸν ἑκατὸν ἀριθμὸν πολλάκις καὶ ἐπὶ τοιούτου σημαινομένου εὑρίσκοντες κείμενον, ὡς καὶ ἐν τῷ ***ἑκατόνζυγος*** ναῦς ἡ πολύζυγος, καί, ἑκατὸν δέ τε δούραθ' ἁμάξης, καὶ ἑκατόγχειρ Αἰγαίων καὶ ἑκατόμπολις Κρήτη»· ἰδὲ καὶ 1541, 10-13. Καὶ ἐν μὲν τῇ Ἰλ. Β, 649 φέρεται ***Κρήτη ἑκατόμπολις*** ἐν δὲ τῇ Ὀδυσσ τ 174 συστέλλονται αἱ πόλεις εἰς μόνον ἐνενήκοντα («ἐν δ' ἄνθρωποι | πολλοί, ἀπειρέσιοι, καὶ *ἐννήκοντα πόληες*») διαφορὰ ἢ καὶ τοῖς ἀρχαίοις καὶ τοῖς νεωτέροις πράγματα παρέχει· ὁ *Roscher*, **Fristen** σελ. 23 σημ. 87 πειρᾶται τὸ πρᾶγμα ἑρμηνεῦσαι ἐκ τυχὸν διπλῆς περὶ τούτου παραδόσεως, πρὸς δὲ καὶ ἐκ τῆς ἱερότητος τοῦ ἀριθμοῦ ***ἐννέα*** παρὰ τοῖς Κρησί, πρβλ. ***Καλλιμ.*** Ὕμν. εἰς Ἄρτεμ. 193. ***Διοδ.*** Δ' 61. Ε' 65. Πλουτ. Θησ. 15. Ovid. Μεταμ. 8,171. ***Πορφυρ.*** β. Πυθαγ. 17. ***Στράβ.*** 472 καὶ 473 κτλ. πρβλ. ***Jebb*** ἐν *Σοφ.* Οἰδ Κολ. 718 «ἑκατόμποδες Νηρῇδες». Ἡ ζήτησις περὶ τοῦ «τελήεσσα ἑκατόμβη» ἔξω τοῦ πράγματός ἐστι. Γνωστότατον δὲ τυγχάνει τὸ Ὁμηρικὸν (Ζ, 236) «χρύσεα χαλκείων, **ἑκατόμβοι'** ἐννεαβοίων». Ἐν τέλει μνημονευτέον καὶ τοῦ ***Εὐριπ.*** Βακχ. 406 ***ἑκατόστομοι*** βαρβάρου ποταμοῦ ῥοαί, περὶ οὗ ἰδὲ *Oberhummer* ἐν **Festschrift W. von Christ 1891 σ. 92.**

ἐλλείπει ἡ τοιαύτη χρῆσις. Τοῦτο τοίνυν σκοπουμένῳ τινὶ καὶ τὴν παλαιοτάτην, ὡς εἰκός, καὶ πρώτην χρῆσιν διατηροῦντι, ῥᾴδιόν ἐστι καταμαθεῖν αἴτιον γενέσθαι φαινόμενον περιφανὲς καὶ λαμπρὸν ἐν οὐρανῷ, πᾶσί τε δῆλον καὶ εὐκατάληπτον καὶ ἀξιομνημόνευτον, πρὸς δὲ καὶ μεγάλην καὶ θαυμαστὴν παρέχον τοῖς ἀνθρώποις αἴσθησιν. Τοῦτο δὲ τὸ φαινόμενόν ἐστιν. αἱ *ἐφθήμεροι* φάσεις τῆς σελήνης, *«τὰ πάθη ἢ σχήματα τῆς σελήνης»*, ἣ δὴ ἐκ παντὸς τοῦ χρόνου ἐνομίσθη αὐτὸ τοῦτο μεγάλη θεότης, μέγιστον ἰσχύουσα ἐπὶ πᾶσαν τὴν ἐν τῇ γῇ ζωήν, τήν τε ἄψυχον καὶ τὴν ἔμψυχον (πρβλ. τὰ τῶν γυναικῶν καταμήνια καὶ τὴν κύησιν τοῦ βρέφους). Ἤδη ἀρχαιότατα παρά τε τοῖς Ἀσιατικοῖς λαοῖς καὶ τοῖς Ἕλλησι παρετηρήθη τὸ φαινόμενον τῶν τῆς σελήνης φάσεων καὶ τὰ κατ᾿ αὐτὸ σημεῖα ὑπὸ τῶν ἀστρολογούντων ἀνθρώπων ἐσπουδάζοντο, οἳ δὴ ἐπί τε τὰς ἐκλείψεις αὐτῆς καὶ τὰς μηνιαίας ἀποκρύψεις τὸν νοῦν προσσχόντες καὶ οὐ μόνον τῷ αὐξομένῳ ἢ μειουμένῳ τῆς σελήνης φωτί, ἀλλὰ καὶ ταῖς μορφαῖς τῶν κεράτων αὐτῆς ὀρθῆς ἢ νευσταζούσης ἢ ὑπτίας, μύθους ἐν δυσθεωρήτοις καὶ ἀπόροις σκέψεσι καὶ ἀλληγορίας καὶ μαγείας ἐπινοήσαντες καὶ τούτων τοῖς κοσμικοῖς παθήμασι συγγένειαν πλασάμενοι, πολὺν ἐπῆγον φόβον τε καὶ δέος αὐτῆς τοῖς ἄλλοις ἀνθρώποις, δεδιόσιν οὕτω ἀδεὲς δέος. Ἀλλὰ μήν γε καὶ παράδειγμα τῆς ἐπ᾿ ἀμφότερον τῶν ἀνθρωπίνων μεταβολῆς ἐποιοῦντο ταύτην τοῖς ἐπαιρομένοις καὶ μέγα φρονοῦσιν ἐπιφέροντες τὸ τοῦ Σοφοκλείου Μενελάου (713 Dindorf, σελ. 253 Nauck): ὥσπερ σελήνης ὄψις εὐφρόναις δύο | στῆναι δύναιτ᾿ ἂν οὔποτ᾿ ἐν μορφῇ μιᾷ, | ἀλλ᾿ ἐξ ἀδήλου πρῶτον ἔρχεται νέα | πρόσωπα καλλύνουσα καὶ πληρουμένη, | χὤταν περ αὐτῆς εὐπρεπεστάτη φανῇ, | πάλιν διαρρεῖ κἀπὶ μηδὲν ἔρχεται. (Πρβλ. Πλουτάρχ. βίον Δημητρ. κεφ. 45. Ἠθικ. 282, b καὶ 517, d). Ἡ τῆς σελήνης τοίνυν εὔλογος λατρεία [1] (ἣν βραχύτατα ἐνταῦθα καὶ ἐπὶ κεφαλαίων ἐπισκέψασθαι βούλομαι), ἀρχαιότατα, ὡς ἄρτι εἴρηται, παρὰ τῶν ἀνθρώπων ἐπινοηθεῖσα καὶ ἀσπαστὴ αὐτοῖς γενομένη, οὐ μόνον πρὸς τὴν τοῦ ἡλίου λατρείαν

---

[1]) Περὶ τῆς σελήνης μακρὰν πραγματείαν ἔγραψεν ὁ *W. H. Roscher*, **Selene und Verwandtes**, ἐν Λιψίᾳ 1890, καὶ **Nachträge zu meiner Schrift über Selene und Verwandtes**, ἐν Λιψίᾳ 1895.

συνεδέθη ἀλλὰ καὶ καθ' ἑαυτὴν καὶ ἐν Ἑλλάδι ἐπέδωκεν ὡς ὑπὸ πολλῶν συγγραφέων ἀριδήλως μαρτυρεῖται· καὶ ἐπίθετα δ' ἐδόθησαν τῇ σελήνῃ οἷα τὰ *ἄγαλμα νυκτός*, καὶ *ἀκοίμητος*, καὶ *ἐριφεγγής*, καὶ *θυγάτηρ Ἀελίου*, καὶ *ἱερή*, καὶ *πανδερκής*, καὶ *πανδῖα*, καὶ *πότνια* κ. τ. τ.[1] Οὖσα δ' ἡ σελήνη ἡ τῇ γῇ ἐγγυτάτη οὐράνιος δύναμις ὑπὸ πολλῶν ὑμνήθη. Καὶ παρὰ Πλάτωνι ὁ Τίμαιος (38, c) λέγει ὅτι ὁ χρόνος μετ' οὐρανοῦ γέγονεν, ἵνα ἅμα γεννηθέντες ἅμα καὶ λυθῶσιν. ἄν ποτε λύσις αὐτῶν γίγνηται, εἰς διορισμὸν δὲ καὶ φυλακὴν ἀριθμῶν χρόνου γέγονε *ἥλιός* τε καὶ *σελήνη* καὶ *πέντε* ἄλλα ἄστρα, ἐπίκλην ἔχοντα πλανητά, τὴν δὲ περιφορὰν τῆς σελήνης ἔταξεν εἰς τὸν ***περὶ γῆν πρῶτον κύκλον***. Ἥλιος καὶ σελήνη συνδέενται ἀείποτε καὶ συγγενῆ νομίζονται. Ὁ *Πλούταρχος* (Ἠθικ. 282, β) περὶ ἡλίου καὶ σελήνης αὐτὸ τοῦτο ὡς περὶ ἀνδρὸς καὶ γυναικός, ὡς περὶ «ἀνδρογύνου» ὡς μετὰ τοὺς Βυζαντίνους παρ' ἡμῖν λέγεται, γράφει: τῶν μὲν ἀοράτων θεῶν καὶ νοητῶν βασιλεύουσι Ζεὺς καὶ Ἥρα, τῶν δ' ὁρατῶν ἥλιος καὶ σελήνη· ποιεῖ δ' ὁ μὲν ἥλιος τὸν ἐνιαυτόν, ἡ δὲ σελήνη τοὺς μῆνας. Δεῖ δὲ μὴ νομίζειν ἁπλῶς εἰκόνας ἐκείνων τούτους, ἀλλ' αὐτὸν ἐν ὕλῃ Δία τὸν ἥλιον, καὶ αὐτὴν τὴν Ἥραν ἐν ὕλῃ τὴν σελήνην· διὸ καὶ Ἰουνῶνεμ ὀνομάζουσιν (οἱ Ῥωμ.) τὴν σελήνην κτλ. Πρβλ. καὶ Εὐστάθιον εἰς Ἰλ. Σ 484 (1155,22). Παρ' Ἰουλιανῷ ἐν ἐπιστολῇ ν', Ἀλεξανδρεῦσι, (σελ. 370 Hércher) καλεῖται ἡ Σελήνη ἡ δημιουργὸς τῶν ὅλων. ἣ ἐκ τοῦ ἡλίου καὶ παρὰ τοῦ ἡλίου τὴν δύναμιν ἔλαβε καὶ πολλῶν ἀγαθῶν τοῖς ἀνθρώποις αἰτία γίγνεται. Παρὰ δὲ τῷ Πλουτάρχῳ, περὶ Ἴσιδ. καὶ Ὀσίρ. 41, γίγνεται καταφανέστερος ὁ παραλληλισμὸς τῶν δύο τούτων οὐρανίων σωμάτων παρὰ τοῖς Αἰγυπτίοις καὶ τοῖς αἰγυπτιάζουσιν Ἕλλησι, σωμάτων ἃ οἱ Ὀρφικοὶ ὡς τὰ τοῦ Θεοῦ ὄμματα ἐνόμιζον[2].

Πότε οἱ ἐν Ὀλύμπῳ θεοὶ ἐγένοντο παρὰ τοῖς Ἕλλησιν οἱ τοῦ

---

[1]) Πρβλ. Orphica ed. *E. Abel* σελ. 62 καὶ *C. F. H. Bruchmann*, Epitheta deorum quae apud poetas Graecos leguntur, ἐν Λιψίᾳ, 1893 σ. 204-210.

[2]) Οἱ Νέοι Πυθαγόρειοι, οἱ τὸν κόσμον ἔμψυχον ὂν νομίζοντες, ἔλεγον τὸν μὲν ἥλιον τὴν καρδίαν, τὴν δὲ σελήνην τὸ ἧπαρ αὐτοῦ εἶναι· πρβλ. *A. Dieterich*, Jahrb. f. Klass. Philol., XVI. Suppl. (1888) 777.

παντὸς θεοί, ἐν ἀφανεῖ ἔτι κεῖται ἴσως δὲ καὶ ἀφανὲς διαμενεῖ. Ἤδη ὁ Ὅμηρος (ἐν τῷ ἑλληνικῷ ἔπει ἐλλείπουσι τελέως ἴχνη λατρείας ἢ ἀστρολογίας ἀνατολικῆς) ἀναφέρει εἰς αὐτοὺς πάντα τὰ ἐπὶ γῆς γιγνόμενα (ὁ Ζεύς ἐστι κατ' αὐτὸν ἐρίγδουπος, νεφεληγερέτης, καταχθόνιος, ἀστεροπητής, τερπικέραυνος, κτλ., ὁ Ποσειδῶν καλεῖται γαιήοχος, ἐνοσίχθων, ἐννοσίγαιος, κτλ.), καὶ ὁ *Ἀριστοφάνης* Νεφέλ. 365 ἑξ. διδάσκει ἡμᾶς ἐπιχαρίτως τὰ τοῦ *ὀμβρίου* (Λυκοφρ. 160) Διός. Πρβλ. καὶ *Ἀριστοφ.* Νεφελ. 1279. Σφηκ. 774. 261. Ὀρν. 1501-2. *Ἡροδότ.* Δ' 28. *Θεόγν.* 25 «οὐδὲ γὰρ ὁ Ζεὺς | οὔθ' ὕων πάντεσσ' ἁνδάνει οὔτ' ἀνέχων», *Θεοκρ.* 4, 43. κτλ. Καὶ ἐν *Ἀριστοφ.* Βατράχ. 246 λέγεται «Διὸς ὄμβρος». Τὰ ἄστρα τοῦ οὐρανοῦ θεῶνται οἱ Ἕλληνες μετὰ θαυμασμοῦ καὶ σεβασμοῦ, γιγνώσκουσιν αὐτὰ οἱ ἀγρόται, οἱ κυνηγοί, οἱ ναυτικοὶ καὶ οἱ ἄλλοι, ἀλλ' οὐδεμίαν δέησιν πρὸς ταῦτα ποιοῦνται. Ὁ μεγαλοφυὴς Ἴων ποιητὴς *Ἀρχίλοχος* θεᾶται μὲν τὴν ἔκλειψιν τῆς σελήνης τῷ 648 π. Χ. (ἴδ. Pauly-Wissowa, Β' στήλ. 489) τὴν ἐκ μεσημβρίας νύκτα ἐν τῇ γῇ ποιήσασαν, ἀλλ' οὐδένα φόβον ἢ ἱερὰν φρίκην αἰσθάνεται, μᾶλλον δ' ἀπορεῖ περὶ τούτου ὅτι ὁ Ζεὺς ὁ πατὴρ τῶν Ὀλυμπίων, ᾧ τοῦ οὐρανοῦ τὸ κράτος ἐστι, καὶ ὃς ἐπ' ἔργα ἀνθρώπων ὁρᾷ λεωργὰ καὶ θεμιστὰ (Ἀποσπ. 84.6) «ἐκ μεσημβρίης ἔθηκε νύκτ' ἀποκρύψας φάος | ἡλίῳ λάμποντι· λυγρὸν δ' ἦλθ' ἐπ' ἀνθρώπους δέος. | ἐκ δὲ τοῦ καὶ πιστὰ πάντα κἀπίελπτα γίγνεται | ἀνδράσιν» (Ἀποσπ. 71. (31)). Καὶ ὁ Τρυγαῖος παρ' *Ἀριστοφ.* Εἰρήν. 406 ἑξ. λέγει ὅτι ἡ σελήνη καὶ ὁ πανοῦργος ἥλιος ἐπιβουλεύουσι πολὺν ἤδη χρόνον τῇ Ἑλλάδι καὶ ταύτην τοῖς βαρβάροις προδιδόασιν, ὅτι οἱ μὲν Ἕλληνες τοῖς Ὀλυμπίοις θεοῖς θύουσιν, οἱ δὲ βάρβαροι τῇ σελήνῃ καὶ τῷ ἡλίῳ καὶ ταῦτα ὡς ἱερὰ καὶ θαυμαστὰ προσκυνοῦσι. Πρβλ. περὶ τούτων *Wilamowitz*, ἐν τῇ Εἰσαγ. τῆς μεταφρ. τῶν Εὐμενίδων τοῦ Αἰσχύλ. Griech. Tragöd. Β' σελ. 210 ἑξ. *Pfeiffer*, Studien σελ. 14 σημ. 2. *Zielinski* ἐν Philologus ΝΕ' (1896) σελ. 494. 500.

Εὐνόητον δ' ὅτι ἡ σελήνη ἐνομίζετο οὐράνιον σῶμα ἀρχαιότατα καὶ πρόπαλαι ἀναφανέν. Πολυθρύλητόν ἐστι τὸ τῶν Ἀρκάδων ἐπίθετον **προσέληνος** («οἳ καὶ πρόσθεν σεληναίης ὑδέονται ζώειν, φηγὸν ἔδοντες ἐν οὔρεσιν» Ἀπολλ. Ῥοδ. Δ' 264) οὗ ὅ,τε Στέφανος Βυ-

ζάντιος (ἐν λ. Ἀρκάς, σελ. 120 Meineke) καὶ Σουΐδας (ὃς ἐσφαλμένως σημειοῦται ὅτι ἤδη Ἡρόδοτος αὐτοὺς οὕτω λέγει) καὶ οἱ Σχολ. εἰς Ἀπόλλ. Ῥόδ. ἔνθ. ἀν. καὶ εἰς Ἀριστοφ. Νεφ. 398 ποιοῦνται ἑρμηνείαν. Παραλείπων δὲ τὸ ψευδεπίγραφον Λουκιάν. περὶ τῆς ἀστρολογίης 26 ὅτι Ἀρκάδες μόνοι οὐκ ἐτίμησαν τὴν ἀστρονομίαν ἀλλ' ἀνοίᾳ καὶ ἀσοφίᾳ λέγουσι καὶ τῆς σελήνης εἶναι προγενέστεροι, παρατίθημι ἐνταῦθα τὰ συνοπτικὰ τοῦ Εὐσταθίου εἰς Ἰλιάδ. Β, 603 ἑξ. (300,24): δοκεῖ δὲ παλαιότατα ἔθνη Ἑλλήνων εἶναι τὰ Ἀρκαδικά· διὸ καὶ προσέληνοι ἐλέγοντο οἱ Ἀρκάδες, ὅ πέρ, φασιν, Ἵππυς ὁ Ῥηγῖνος (πρβλ. Στεφ. Βυζ. ἔνθ. ἀν.) πρῶτον αὐτοὺς ἐκάλεσε. Τοῦτο δὲ ὁ Λυκόφρων παραφράζων πρόσθε μήνης τοὺς Ἀρκάδας βαλανηφαγεῖν ἔφη [1].

Οὐ δύναταί τις δὲ ἰσχυρίσασθαι ἀσφαλῶς ὅτι Ἡσίοδος τὸν ἥλιον ἀρχὴν τοῦ ἐν τῇ γῇ βίου ἐνόμιζεν. Τὰ γὰρ ἐν Ἔργ. στ. 414 καὶ 564 καὶ 575 περὶ τοῦ ἡλίου λεγόμενα πόρρω ἀπέχουσι τοῦ τὸ πρᾶγμα σαφῶς ἢ καὶ ἀσαφέστερον ὑποδηλῶσαι. Ὅτι δὲ Σείριος οὐχ ὁ Ἥλιός ἐστιν καὶ ἀλλαχοῦ δεδήλωταί μοι (Mittel-und neugriech. Erklär. bei Eustathius § 251). Πολύς, ὡς φαίνεται, διεγένετο χρόνος μέχρις οὗ οἱ Ἕλληνες τὸν ἥλιον ὡς τὴν πρώτην πηγὴν τῆς ἐν τῇ γῇ ζωῆς γνωρίσωσιν, ὡς τὸν «γεννητὴν θεῶν καὶ πατέρα πάντων» (*Σοφοκλ.* ἀποσπ. 1017 Nauck), ὡς καρδίας ἔχοντα δύναμιν καὶ αἷμα καὶ πνεῦμα διαπέμποντα (*Πλουτ.* Ἠθ. 928, β). Ὑπὸ τοῦ Προμηθέως ἐν *Αἰσχύλου* Προμ. Δεσμ. 454 ἑξ. ἐξαίρεται μὲν προφανῶς ἡ διαίρεσις τοῦ ἔτους εἰς *χεῖμα, ἀνθεμῶδες ἦρ* καὶ *κάρπιμον θέρος* ἀλλ' οὐδὲν σαφὲς περὶ τοῦ ἡλίου λέγεται. Τοὐναντίον ἡ *σελήνη* ἐξυμνεῖται ἐν Ἑπτ. ἐπὶ Θήβ. 389

λαμπρὰ δὲ πανσέληνος ἐν μέσῳ σάκει
πρέσβιστον ἄστρων, νυκτὸς ὀφθαλμός, πρέπει

ἔνθα βέβαιόν ἐστι ὅτι τὸ *πρέσβιστον* οὐχὶ τὴν ἡλικίαν ἀλλὰ τὸ μέγεθος

[1]) Ὁ *Heyne* ἔγραψε πραγματείαν de Arcadibus Luna antiquioribus, ἐν Γοτίγγῃ (πρόγρ.) 1775, (πρβλ. καὶ Op. Β' 334). Περὶ τῆς ἡλικίας τῆς σελήνης ἴδ. *Pott*, Fleckeisen's Jahrb. 1859 Suppl. 305 καὶ *Göttling*, op. acad. 238-242. Γνωσταὶ δ' εἰσιν ἐκ τοῦ Ἡσυχίου αἱ **προσεληνίδες** νύμφαι ἐν Ἀρκαδίᾳ. Ἰδὲ περὶ τῶν ἀνωτ. καὶ Πλουτάρχ. Ἠθ. 282, α ἑξ.

καὶ τὴν τούτῳ παρακολουθοῦσαν τιμὴν δηλῶσαι βούλεται. Καὶ κατὰ τὰς περὶ γενέσεως δὲ δοξασίας τῶν Βαβυλωνίων ἡ σελήνη ἐπλάσθη πρὸ τοῦ ἡλίου· καὶ ἐν τῷ ψευδεπιγράφῳ Ἱπποκρατ. συγγράμματι *περὶ ἑβδομάδων* (κεφ. β΄) οὗ ὁ συγγραφεὺς ἐκ παλαιῶν πηγῶν ἀρύεται, φέρεται «ἡ δὲ σελήνη μέση οὖσα συναρμόζει αὐτά· τἆλλα πάντα ἐν ἀλλήλοισι ζῶντα καὶ δι' ἀλλήλων διϊόντα αὐτὰ ὑφ' ἑωυτῶν καὶ ὑπὸ τῶν ἀεὶ ὄντων ῥηϊδίως κινεῖται» [1]. Τὰς ὥρας τοῦ ἔτους ὥριζον οἱ Ἕλληνες ἐν τῷ πρακτικῷ βίῳ κατὰ τὴν φαινομένην ἀνατολὴν καὶ δύσιν τῶν ἀπλανῶν ἀστέρων, βραδύτερον δὲ καὶ ἐκ τῆς εἰσόδου τοῦ ἡλίου εἰς ζῴδια τοῦ ζῳδιακοῦ κύκλου, μόνον δὲ διὰ τῆς ἐπιστημονικωτέρας ἐργασίας τῶν Ἰώνων φιλοσόφων καὶ διὰ τῶν ἐξ Ἀνατολῶν ἐλθόντων ἀστρολογημάτων ἐτιμήθη παρὰ τοῖς Ἕλλησι προσηκόντως ὁ ἥλιος [2]. Καὶ αὐτὸς δ' ὁ Ἰουλιανὸς (ἐν τῇ ἀνωτ. ἐπιστολῇ ν΄) γράφων πρὸς τοὺς Ἀλεξανδρέας καὶ πειρώμενος αὐτοὺς εἰς τὴν τῆς ἀληθείας ὁδόν, ὡς αὐτὸς ἡγεῖτο, ἐπαναγαγεῖν καὶ τῆς διδασκαλίας τῶν ἐχθίστων Γαλιλαίων αὐτοὺς ἀποστῆσαι βουλόμενος, ἔλεγε περὶ τοῦ *Ἡλίου* «μόνοι θέρος οὐκ ἴστε καὶ χειμῶνα παρ' αὐτοῦ γινόμενον; μόνοι ζωογονούμενα καὶ φυόμενα παρ' αὐτοῦ τὰ πάντα;»

Εἴρηται ἀνωτέρω ὅτι μεγάλη ἀπεδίδοτο ῥοπὴ τῆς σελήνης ἐπὶ τὴν κύησιν καὶ γέννησιν τοῦ βρέφους. Παρεμβλητέον μοι ἐνταῦθα τὸ τοῦ Πλουτάρχου χωρίον Ῥωμαϊκ. 77 (Ἠθικ. 282 c) σημειουμένου ὅτι οἱ Ῥωμαῖοι «νομίζουσι τὴν Λουκῖναν Ἥραν ἐπὶ ταῖς λοχείαις καὶ ὠδῖσι βοηθεῖν *ὥσπερ καὶ τὴν σελήνην*, 'διὰ κυάνεον πόλον ἄστρων διὰ τ' *ὠκυτόκοιο σελάνας*' [3]· εὐτοκεῖν γὰρ ἐν ταῖς πανσελήνοις μάλιστα δοκοῦσι» [4]. Οὐ μόνον δὲ περὶ τὰ ἔμψυχα ἀλλὰ καὶ

---

[1]) Πρβλ. περὶ τούτων *Roscher*, Über Alter σελ. 72, *Pfeiffer*, Studien σελ. 6 ἑξ. καὶ *Troels-Lund*, Das Himmelsbild im Wandel der Zeiten σελ. 26.

[2]) Ἰδὲ *F. Cumont*, La théologie solaire du paganisme romain (Mém. prés. p. div. sav. à l'Acad. des inscript., XII, 2 (1909) 447 ἑξ. καὶ πλείω βιβλιογραφίαν παρὰ *Pfeiffer*, Studien σελ. 7 σημ. 5 καὶ *P. Wendland*, Die Hell.-röm. Kultur σελ. 158.

[3]) Ἐκ τοῦ Τιμοθέου τοῦτο, πρβλ. Bergk τόμ. Γ΄ 620 καὶ *Wilamowitz* Timotheos σελ. 114 καὶ Wyttenbach εἰς Πλουτ. ἔ. ἀν. (Animadv. Γ΄ σελ. 34).

[4]) Ἰδ. τὰ ἐν ἀναφορᾷ πρὸς τὴν *Ελλείθυιαν* παρὰ *Usener*, ἔν τε τοῖς Kl

περὶ τὰ ἄψυχα ἐπίδηλός ἐστιν ἡ τῆς σελήνης δύναμις. Τῶν γὰρ ξύλων, λέγει ὁ Πλούταρχος (Συμποσιακ. Γ' 10, 3) τὰ τεμνόμενα ταῖς πανσελήνοις ἀποβάλλουσιν οἱ τέκτονες, ὡς ἁπαλὰ καὶ μυδῶντα ταχέως δι' ὑγρότητα[1]· τοὺς δὲ πυροὺς οἱ γεωργοῦντες σπεύδουσι φθίνοντος τοῦ μηνὸς ἐκ τῆς ἅλω συναίρειν, ἵνα παγέντες τῇ ξηρότητι μᾶλλον πρὸς τὸν χρόνον ἀντέχωσιν· οἱ δ' ἀκμῇ τῆς σελήνης διακομιζόμενοι κόπτονται μάλιστα διὰ τὴν ὑγρότητα μαλακώτεροι γιγνόμενοι. λέγουσι δὲ καὶ τἄλευρον ἐν ταῖς πανσελήνοις ζυμοῦσθαι βέλτιον. Καὶ ἐν τῷ «περὶ τοῦ ἐμφαινομένου προσώπου ἐν τῷ κύκλῳ τῆς σελήνης» συγγράμματι ἐπαναλαμβάνονται (κεφ. ΚΕ', : Ἠθικ. 939, f) τὰ αὐτά που, ὅτι οὐδὲν ἀπὸ τῆς σελήνης ξηρότητος πάθος ἀφικνεῖται πρὸς ἡμᾶς, πολλὰ δὲ ὑγρότητος καὶ θηλύτητος, οἷον αὐξήσεις φυτῶν, σήψεις κρεῶν, τροπαὶ καὶ ἀνέσεις οἴνων, μαλακότητες ξύλων, εὐτοκίαι γυναικῶν. Πρβλ. καὶ Ἀθήν. 276, d ἑξ. καὶ Schweighäuser αὐτόθι, ἐν τόμ. Θ' σελ. 13-14[2]. Ἐν τῷ ψευδεπιγράφῳ Λουκιανείῳ συγγράμματι «περὶ τῆς ἀστρολογίης» 25 φέρεται ὅτι ὁ Λυκοῦργος τοῖς Λακεδαιμονίοις πᾶσαν τὴν πολιτείαν ἐκ τοῦ οὐρανοῦ διετάξατο καὶ νόμους αὐτοῖς ἐποιήσατο μηδαμὰ μηδὲ εἰς πόλεμον προχωρεῖν πρὶν τὴν σελήνην πλήρη γενέσθαι· οὐ γὰρ ἴσην ἐνόμισεν εἶναι τὴν δυναστείαν αὐξανομένης τῆς σελήνης καὶ ἀφανιζομένης *πάντα δ' ὑπ' αὐτῇ διοικεῖσθαι.*

Τὴν νομιζομένην δύναμιν καὶ ῥοπὴν τοῦ ἡλίου καὶ σελήνης ἐπὶ τὰ τῆς γῆς σαφῶς τὸ παρὰ *Φίλωνι*, περὶ τῆς κατὰ Μωυσέα κοσμοπ. § 56, λεγόμενον μηνύει: «τοῦ σύμπαντος χρόνου διανεμηθέντος εἰς δύο τμήματα, ἡμέραν τε καὶ νύκτα, τῆς μὲν ἡμέρας τὸ κράτος ὁ πατὴρ ἀνεδίδου τῷ *ἡλίῳ*, οἷα μεγάλῳ βασιλεῖ, τῆς δὲ νυκτὸς *σελήνῃ* καὶ τῷ πλή-

---

Schrift. τόμ. Δ' σελ. 24 λεγόμενα, καὶ περὶ τῶν ὀνομάτων τῆς θεᾶς σελήνης καὶ τῶν συγγενῶν αὐτῇ θεῶν ἔ. ἀν. σελ. 508, καὶ ἐν Rh. Mus. ΚΓ' 324 ἑξ. ΜΘ' 471 καὶ ἐν Götternam. 238 ἑξ.

[1]) Τοῦτο καὶ νῦν ἔτι οὕτω δοξάζεται καὶ περὶ τὴν τμῆσιν τῶν δένδρων ἀκριβῶς φυλάττεται, ἃ μόνον κατὰ τὴν «λίγωσι» κόπτονται. Σημείωσαι δ' ὅτι καὶ οἱ τῶν πεπόνων φυτευταὶ σπείρουσιν αὐτοὺς μετὰ τὴν πανσέληνον.

[2]) Ἴδε καὶ *Πλινίου* Hist. Nat. 18, 321 ἑξ. omniaque caeduntur, carpuntur, conduntur innocentius *decrescente* luna quam crescente fiunt.

θει τῶν ἄλλων ἀστέρων»[1]. Ῥητέον δ' ἐν παρέργου μέρει ὅτι καὶ εἰς χρόνου καταμέτρησιν, εἰ καὶ οὐχὶ ἀκριβεστέραν ἀλλὰ μόνον ἁδρομερῆ καὶ μεταφορικήν, παλαίτατα ἤδη ἡ σελήνη παρελαμβάνετο, οὖσα πρόχειρος καὶ εὔθετος τοῦ χρόνου μετρητής. «τέκμωρ δὲ βροτοῖς καὶ σῆμα τέτυκται» (Ὁμηρ. Ὕμν. ΛΓ' 13)· μνημονεύω δύο τῆς μεταφορικῆς χρήσεως χωρίων ἃ πρόχειρα ἔχω.

Ἡ Ἑλένη παρ' Εὐριπ. (Ἑλ. 113) διερωτᾷ Τεῦκρον πόσον ἄλλον χρόνον πλὴν τῶν *ἑπτὰ ἐτῶν* διέμειναν ἐν Τροίᾳ, ὁ δὲ Τεῦκρος εἰς τὴν *σελήνην* ὡς εἰς χρόνου μέτρον ἀναφερόμενος, ἀποκρίνεται «*πολλὰς σελήνας*, δέκα διελθούσας ἔτη» καὶ τὸν ἥλιον σὺν τούτῳ παρεισάγων. Γνωστότατος δὲ τυγχάνει ὁ τοῦ Στρεψιάδου ὀδυρμὸς ἐπὶ τῷ υἱῷ (Ἀριστοφ. Νεφ. 17 ἑξ.) δι' ὃν κατάχρεων ὄντα ἀπώλλυτο ὁ πατὴρ ὁρῶν τὴν σελήνην εἰκάδας ἄγουσαν τῶν τόκων χωρούντων[2].

Διὰ πάσης δὲ τῆς Ἑλληνικῆς γραμματείας μέχρι τῶν ἐσχάτων χρόνων δύναταί τις ἰδεῖν διήκουσαν τὴν τοιαύτην περὶ τῆς σελήνης ἱερὰν γνώμην. Αὐτὸς ὁ Μιχαὴλ Γλυκᾶς (42, 15 ἑξ. ἐκδ. Βόννης) τὸν θαυμασμὸν αὐτοῦ λέγει (ὃν ἐκ τῆς Ἑξαημέρου τοῦ Μεγάλου Βασιλείου παραλαμβάνει) καλῶν τὴν σελήνην σῶμα μέγα καὶ φανότατον μετὰ τὸν ἥλιον. Εἰ γὰρ (ἐπιφέρει ὁ αὐτὸς) καὶ μὴ διόλου τὸ φῶς αὐτῆς ἀμετακίνητον μένει, ἀλλὰ καὶ τοῦτο ἀρρήτου σοφίας τοῦ δημιουργοῦ πάντων, ὥστε τῷ κατὰ τὴν σελήνην θεάματι παιδεύεσθαι ἡμᾶς, τὰ ἡμέτερα δὲ καὶ τῆς ταχείας τῶν ἀνθρωπίνων περιτροπῆς ἐντεῦθεν εἰς ἔννοιαν ἔρχεσθαι. Οἶμαι δὲ (λέγει) καὶ τῇ τῶν ζῴων κατασκευῇ καὶ τοῖς λοιποῖς τοῖς ἀπὸ γῆς φυομένοις μὴ μικρὰν ὑπάρχειν *ἐκ τῆς κατὰ τὴν σελήνην μεταβολῆς* τὴν συντέλειαν. Ληγούσης μὲν γὰρ τῆς σελήνης ἀραιὰ γίγνονται τὰ σώματα καὶ κενά, αὐξομένης δὲ καὶ πρὸς τὸ πλῆρες ἐπαγομένης καὶ αὐτὰ πάλιν ἀναπληροῦνται, διότι ἡ σελήνη ὑγρότητά τινα θερ-

---

[1]) Περὶ τῶν ἐν τῇ Ἑξαημέρῳ τοῦ Μ. Βασιλείου λεγομένων περὶ τῆς ἐπὶ τὴν γῆν ἐπιδράσεως τῆς σελήνης πρβλ. *Gronau*, Poseidonios σελ. 17, ἔνθα καὶ πολλὴ περὶ τούτου βιβλιογραφία ἐξ ἄλλων συγγραφέων.

[2]) Καὶ νῦν δ' ἔτι ἐν τῇ καθ' ἡμᾶς Ἑλληνικῇ συχνή ἐστιν ἡ ἐν τοιαύτῃ ἐκδοχῇ χρῆσις τῆς λέξεως *φεγγάρι* (φεγγαράκι) ὡς ἐπὶ παραδείγματος «ἔμεινε ἕνα φεγγάρι (φεγγαράκι) εἰς αὐτὴν τὴν θέσιν» κτλ. πρβλ. καὶ *F. Pradel*, Griech. Gebete σελ. 31, 3 καὶ 114.

μότητι κεκραμένην εἰς αὐτὰ λεληθότως ἐνίησι [1]. Δηλοῦσι δὲ τοῦτο (ὡς ὁ αὐτὸς προϊόντος τοῦ λόγου ὡς ἐπὶ τὸ πολὺ καὶ τὰς παραδοξολογίας σωρεύει) καὶ οἱ καθεύδοντες τῆς ὑπὸ σελήνης ὑγρότητος περισσῆς τὰς τῆς κεφαλῆς εὐρυχωρίας πληρούμενοι, ἔτι δὲ τὰ νεοσφαγῆ τῶν κρεῶν τῇ προσβολῇ τῆς σελήνης ταχέως τρεπόμενα. Κατὰ τοῦτο καὶ ἐφ' ἅρματος αὐτὴν καὶ δύο ταύρων καθίζουσιν ὡς κυκλοῦσαν τὸν κόσμον καὶ ἀροτριῶσαν καὶ σπείρουσαν, ὑγραίνουσάν τε καὶ θερμαίνουσαν. Ταῦτα δὲ πάντα οὐκ ἂν ἐξήρκεσε (ἐπιφέρονται πρὸς θεολογικὴν τοῦ πράγματος ἑρμηνείαν) τῇ ἑαυτῆς ἀλλοιώσει συμμεθιστᾶν, εἰ μή γε κατὰ τὴν τῆς Γραφῆς μαρτυρίαν *ὑπερφυής τις ἐτύγχανε τῇ δυνάμει τε ὑπερέχουσα*. Οὕτω μὲν οὖν ἐκ τῆς αἰτίας ταύτης καὶ τὰ κατὰ τὸν ἀέρα πάθη συνίστανται, ὡς μαρτυροῦσιν ἡμῖν οἱ κατὰ τὴν νουμηνίαν πολλάκις ἀπὸ γαλήνης καὶ νηνεμίας αἰφνίδιοι ταραχαὶ τῶν νεφῶν κλονουμένων καὶ συμπιπτόντων ἀλλήλοις, αἵ περὶ τοὺς εὐρίπους τε παλίρροιαι, καὶ ἡ περὶ τὸν λεγόμενον ὠκεανὸν ἄμπωτις, ἣν ταῖς περιόδοις τῆς σελήνης τεταγμένως ἑπομένην ἐξεῦρον οἱ προσοικοῦντες [2].

Ἀληθὴς δ' ὕμνος εἰς τὴν σελήνην εὕρηται ἐν τῷ περιπύστῳ Παρισινῷ μαγικῷ παπύρῳ (ἴδ. *C. Wessely*, Griech. Zauberpapyrus von Paris und London. σελ. 116)· ἐξέστω δ' ἡμῖν παραθεῖναι ἐνταῦθα τοῦτο τὸ μεταγενέστερον μὲν τοῦ πράγματος μαρ-

---

[1]) Πρβλ. καὶ Κικέρωνος de deor. nat. II, 19, 50 multaque ab ea (luna) manant et fluunt, quibus et animantes alantur augescantque et pubescant maturitatemque assequantur quae oriuntur ex terra. ἴδ. καὶ Εὐσταθ. εἰς Ἰλ. Σ, 484 (1155, 25). Ἀλλὰ τὸ πάντων θαυμασιώτατον φάρμακον κάμνοντος, τὸ παρὰ Μαρκέλλῳ de medicam. empir. 2, 13 ἐστί. Ὁ λόγος ἐστὶ περὶ ἀλγοῦντος τὴν κεφαλὴν (ἐξ ἡμικρανίας): Si vir aut adulescens aut infans hemicranium patietur, observet, ut semper *luna septima* et septima decima et vicessima septima se tondeat: mirum remedium habebit (!) neque curet si dies Martis aut Saturni in has lunas inciderit.

[2]) Ἴδε τὰ κατὰ τὸ πρᾶγμα παρὰ *Roscher*, Selene σελ. 55 ἑξ., καὶ Siebenzahl σελ. 4 καὶ τὸ ἐν σημειώσει μνημονευόμενον χωρίον τοῦ *Reville*, Les religions des peuples non-civilisés II, 226 περὶ τῆς δυνάμεως ἣν ἐπὶ τὸ παιδίον καὶ ἐπὶ τὸν νηπιώδη ἄνθρωπον ἔχει τὸ γλυκὺ τῆς σελήνης φῶς. Πρβλ. καὶ *Fr. Boll* ἐν Pauly-Wissowa Z', στήλ. 2552 καὶ Lebensalter σελ. 33 (121)· *Roscher*, Enneadische σελ. 17 σημ. 69. *Reitzenstein*, Poimandres σελ. 265.

τύριο· λίαν δὲ σημαντικόν, καὶ ἀναμφιβόλως καὶ κατ' ἐμὴν γνώμην ἐξ ἀρχαίας πηγῆς ἀρυσθέν. ὀρφικὸν δ' ὕμνον νῦν ὑπολαμβανόμενον, ἴδ. *Miller*. Mélanges de littérature grecque, Paris. 1868 σελ. 453 καὶ *Orphica* rec. E. Abel. ἐν Λιψ. 1885 σελ. 293 στίχ. 29 :

«Ἡ πολυχώρητον κόσμον νυχὸς (νυκτὸς) ἀμφιέπουσα·
δαίμονες ἥν φρίσσουσι καὶ ἀθάνατοι τρομέουσι,
κυδιάνειρα θεά, πολυώνυμε, καλλιγένεια,
ταυρῶπις κερόεσσα, θεῶν γενέτειρα καὶ ἀνδρῶν,
καὶ φύσι παμμήτειρα· σὺ γὰρ φοιτᾷς ἐν Ὀλύμπῳ·
εὐρεῖαν δέ τ' ἄβυσσον ἀπείριτον ἀμφιπολεύεις·
ἀρχὴ καὶ τέλος εἶ, πάντων δὲ σὺ μούνη ἀνάσσεις·
ἐκ σέο γὰρ πάντ' ἐστι καὶ ἐκ σέο πάντα τελευτᾷ·
ἀέναον διάδημα τεοῖς φορέεις κροτάφοισι».

Πρβλ. *Wessely* ἔ. ἀν. στ. 2545. 2558. 2785. Καὶ ἐν τῷ Λονδινίῳ δὲ τοῦ Γ' αἰῶνος παπύρῳ 121 (ἴδ. *Wessely* ἔνθ. ἀν. 1893 σελ. 47 στίχ. 827. *Kenyon*, Greek Pap. Catal. I σελ. 108) ἀναγιγνώσκομεν εὐχὴν πρὸς τὴν *θεὰν* σελήνην «ἐπικαλοῦμαί σε πάνμορφον καὶ πολυώνυμον δικέρατον θεὰν Μήνην, ἧς τὴν μορφὴν οὐδὲ εἷς ἐπίσταται πλὴν ὁ ποιήσας τὸν σύμπαντα κόσμον Ἰαώ» κτλ. πρβλ. *Reitzenstein*, Poimandres σελ. 262 ἑξ· ἐν ἀποκρύφῳ δέ τινι ἀποκαλύψει (παρὰ Tischendorf σελ. 36 ἑξ.) παρίσταται ἡμῖν ἡ θεία οὕτως εἰπεῖν τῆς σελήνης (καὶ τῶν ἄστρων) δύναμις «πολλάκις δὲ καὶ ἡ σελήνη καὶ τὰ ἄστρα προσῆλθον τῷ Κυρίῳ λέγοντες· Κύριε ὁ Θεὸς ὁ παντοκράτωρ, ἡμῖν δέδωκας τὴν ἐξουσίαν τῆς νυκτὸς καὶ οὐκέτι στέγομεν τὰς κλοπὰς καὶ μοιχείας καὶ αἱματοχυσίας τῶν ἀνθρώπων· κέλευσον ἡμῖν καὶ ποιήσωμεν εἰς αὐτοὺς τέρατα» [1].

---

[1]) Ἐν τῷ ὑπ' ἀριθμ. 1265 χειρογράφῳ (ΙΖ' αἰῶνος) τῆς ἐν Ἀθήναις Ἐθν. Βιβλιοθήκης (Σολωμονικῆ, **Clavicula Salomonis**) φέρεται ἐν σελ. 15 «ἡ δὲ σελήνη κυριεύει τῇ δευτέρᾳ ὥρᾳ α ἢ ιε κβ καὶ εἶναι ὠφέλιμος νὰ κάμῃς γραφὴν τοῦ ὑποτάξαι ἐχθροὺς καὶ τοῦ ἐλέγξαι λαὸν (- - -) καὶ εἰς πούλησιν καὶ ἀγορὰν καὶ τοῦ ζητεῖν (- - -) καὶ δανείσασθαι». Περὶ τῶν ἑπτὰ πλανητῶν ἴδ. σελ. 16 «γίνωσκε δὲ ὅτι αἱ ἡμέραι των ἑπτὰ πλανητῶν ἄρχονται ἀπὸ τὲς ιγ' τοῦ [Ιουν]ίου μηνός».

Καὶ ἐν τῇ νεωτέρᾳ δ' ἑλληνικῇ Λαογραφίᾳ πλειστάκις καὶ πλεισταχοῦ εὕρηται ἀποδιδομένη τῇ σελήνῃ θεία δύναμις. Αὐτίκα ἐν Σφακίοις τῆς Κρήτης (ὡς ἐκ τοῦ ἐν Ἀθήναις Λαογραφικοῦ Ἀρχείου μανθάνω) μεγάλη αὐτῇ ῥοπὴ ἐπὶ τὰς ἐργασίας, καὶ τοὺς γάμους κττ. ἀποδίδοται· ἡ νέα σελήνη κομίζει, ὡς αὐτοὶ νομίζουσιν, ἀπειρίαν κακῶν μεθ' ἑαυτῆς, ἃ τοῖς τὸ πρῶτον ὀρθοῖς ὄμμασιν αὐτὴν θεωμένοις ἥκουσιν, οὗτοι δὲ πάλιν ἵνα τούτων ἀπαλλαγῶσι δέον εὐθὺς ἀποσπῶντες τὸ βλέμμα αὐτῶν ἀπὸ τῆς σελήνης ἄλλον τινα προσιδεῖν ἐφ' ὃν οὕτω ταῦτα ἐπιρρίπτεται. Καὶ τὸ σημεῖον τοῦ σταυροῦ ποιοῦνται οἱ τὸ πρῶτον τὴν νέαν σελήνην θεώμενοι ἀλεξητηρίῳ τούτῳ πρὸς τοῦτο χρώμενοι [1]. Ἰδίᾳ δ' ἐπὶ γάμου ἀκριβῶς τῶν τῆς σελήνης ἔχονται καὶ εἰς τὴν θέσιν αὐτῆς πρὸς τὴν οἰκίαν ἐν ᾗ ὁ γάμος ἐπιτελεῖται σπουδαίως τὸν νοῦν προσέχουσι· ἀτυχήματος γιγνομένου λέγεται «τ' ἄστρο ἦτο ἀπ' ὀμπρός» [2]. Ταῦτα παρεκβατικώτερον, νῦν δ' ἐφ' ἃ νῦν ἐστιν ἡμῖν ἡ βουλὴ ἐπάνειμι.

Δηλωτικώτατον τῆς τοῦ ἀριθμοῦ ἑπτὰ συγγενείας πρὸς τὰ σχήματα τῆς σελήνης ἐστὶ τὸ ἐκ τοῦ *Ποσειδωνίου* τὴν ἀρχὴν ἔχον χωρίον (ἴδ. Στοβ. Φυσ.ΚΣΤ') παρὰ *Φίλωνι* περὶ τῆς κατὰ Μωυσέα κοσμοπ. 101 Cohn «αὔξεται μὲν γὰρ (ἡ σελήνη) ἀπὸ τῆς πρώτης μηνοειδοῦς ἐπιλάμψεως μέχρι διχοτόμου *ἡμέραις ἑπτά*, εἶθ' *ἑτέραις* τοσαύταις πλησιφαὴς γίνεται καὶ πάλιν ὑποστρέφει διαυ-

---

[1]) Καὶ ἐν Μεσολογγίῳ δὲ νέας ἀνατελλούσης σελήνης προσφωνοῦσιν αὐτὴν οἱ ὑγιῶς ἔχειν βουλόμενοι (τεμάχιόν τι ἀργύρου ἐν τῇ χειρὶ ἔχοντες) ὧδε «καλῶς το τὸ νεὸ φεγγάρι | κσ' τ' ἄξιο παλληκάρι», καὶ ἐν Κεφαλληνίᾳ δὲ τὰ αὐτά που λέγουσι προστιθέντες ἔτι «καλὰ μᾶς ηὗρηκες | καλὰ νά μας ἀφήσῃς | ὡς στέκει ἡ ῥίζα τοῦ βουνοῦ νὰ στέκῃ τὸ κορμί μας | καὶ ὡς τρέμουν τ' ἀμπελόφυλλα νὰ τρέμουν οἱ ἐχτροί μας». Καὶ ἐν Κρήτῃ δέ ἐστι γνωστὴ ἡ δεισιδαιμονία τῆς προσφωνήσεως τῆς νέας σελήνης ᾗ καὶ ἐπᾴδουσι «καλῶς ἦλθες νεὸ φεγγάρι | δόξα νά χῃ ὅπου σὲ κάνει | ὡς γυαλίζεις νὰ γυαλίζω | ὡς γεμίζεις νὰ γεμίζω». Ἔχει δ' ἐν τῇ χειρὶ ὁ τὴν νέαν σελήνην προσφωνῶν τεμάχιον χρυσοῦ ἢ ἀργύρου. Ἀναγραφῆς ἄξιόν ἐστιν ὅτι ἐν Ἑλλάδι πολλαχοῦ (ὡς φέρ' εἰπεῖν ἐν Πάτραις, ἐν Μεσολογγίῳ κτλ.) οἱ μυρμηκιῶντες τὴν ἀνατέλλουσαν σελήνην πρὸς ἴασιν ἐπικαλοῦνται, καὶ αὐτῆς ἀνατελλούσης τρία λιθάρια, ἃ ἐκ τριόδου λαμβάνουσι, ὄπισθεν αὐτῶν βάλλουσιν ἐπιλέγοντες «*κάτι εἶχα κ' ἔχασα*».

[2]) Περὶ τῆς ἐπιδράσεως τῆς σελήνης ἐπὶ τὰ τῆς γῆς κατὰ τὰς δόξας τοῦ νέου Ἑλληνικοῦ λαοῦ ἴδε *Ν. Γ. Πολίτην*, ἐν *Roscher*, Selene σελ. 184, καὶ περὶ τῶν *σεληνιάζομαι - σεληνιασμός*, *Roscher*, ἔνθ. ἀν. σελ. 69.

λοδρομοῦσα τὴν αὐτὴν ὁδόν, ἀπὸ μὲν τῆς πλησιφαοῦς ἐπὶ τὴν διχότόμον *ἑπτὰ πάλιν* ἡμέραις, εἶτ' ἀπὸ ταύτης ἐπὶ τὴν μηνοειδῆ *ταῖς ἴσαις*· ἐξ ὧν ὁ λεχθεὶς ἀριθμὸς (κη') συμπεπλήρωται». Μνημονευτέον καὶ *Κλήμ.* Στρωματ. ΣΤ' 16, 143 «*ἡ σελήνη τε δι' ἑπτὰ ἡμερῶν λαμβάνει τοὺς μετασχηματισμούς*· κατὰ μὲν οὖν τὴν πρώτην ἑβδομάδα διχότομος γίνεται, κατὰ δὲ τὴν δευτέραν πανσέληνος. τρίτη δὲ ἀπὸ τῆς ἀποκρούσεως αὖθις διχότομος, καὶ τετάρτη ἀφανίζεται». Οἱ δὲ τὰ πάντα δι' ἀριθμῶν ἐξηγούμενοι Πυθαγόρειοι ('Αριστοτέλ. Μεταφ. 1090α) ὑπετίθεντο αἰτίαν τῶν φάσεων τῆς σελήνης τὸν ἑπτὰ ἀριθμὸν (ἴδ. Σχολ. εἰς Ἄρατ. στ. 806 σ. 122, 23 Bekker).

Οὐδαμῶς τοίνυν ἄπορον ὅτι τὴν φυσικὴν ταύτην διαίρεσιν εὑρίσκομεν ἐν τῷ χρόνῳ οὐ μόνον παρ' Ἕλλησιν, ἀλλὰ καὶ ἀρχαιότερον παρὰ Βαβυλωνίοις τε καὶ Ἰουδαίοις, καὶ Αἰγυπτίοις καὶ Πέρσαις καὶ Ἰνδοῖς καὶ πολλοῖς ἄλλοις (ἴδ. *Roscher*, Fristen 28ἑξ. 85ἑξ. 98ἑξ.)[1].

---

[1]) Καὶ ἐγὼ δὲ τὴν ἐκδοχὴν τῆς ἐννημέρου τῶν τῆς σελήνης σχημάτων διαιρέσεως, ὡς ταύτης πρώτης οὔσης καὶ ἐξ ἀρχῆς γενομένης (ὡς δοξάζει ὁ *M. P. Nilsson* ἐν τῇ διατριβῇ Die älteste Griech. Zeitrechnung, Apollo und der Orient ἐν Archiv für Religionswiss. ΙΔ' (1911) σελ. 432 οὐ πάνυ πιθανὴν νομίζω (ἰδὲ καὶ τὰ ὑπὸ Bell ἐν PW Z' 2550 ἀντιλεγόμενα) εἰ καὶ ὑπὲρ αὐτῆς, ὥς μοι δοκεῖ, μάχονται τά τε παρὰ *Θουκυδίδῃ* 7, 50, 4 μνημονευόμενα περὶ τῆς ἐκλείψεως τῆς σελήνης, ὅτε οἱ Ἀθηναῖοι ἐπισχεῖν ἐκέλευον τοὺς στρατηγοὺς καὶ ὁ ἄγαν θειασμῷ τε καὶ τῷ τοιούτῳ προσκείμενος Νικίας εἶπε οὐδ' ἂν διαβουλεύσασθαι ὅπως ἂν κινηθείη πρότερον, πρὶν ὡς *οἱ μάντεις ἐξηγοῦντο, τρὶς ἐννέα ἡμέρας μεῖναι*, (πρβλ. καὶ *Πλουτ.* Νικ. 23), καὶ ἡ νῦν παρὰ τῷ Ἑλληνικῷ λαῷ εἰς τρία μέρη διαίρεσις τῆς περιόδου τῆς σελήνης, τὴν *ἄρχεψιν*, λέγω, καὶ τὴν *γέμισιν* ἢ *γέμωσιν* (οὕτως ἐν Κρήτῃ ἡ πανσέληνος ἢ ἡ πλήθουσα σελήνη λέγεται) καὶ τὸ *τσίμπισμα* τ. ἔ. τὴν φθίνουσαν σελήνην. Ἡ τριαδικὴ τοῦ μηνὸς διαίρεσις (εἰς τρεῖς *δεκάδας* ἀρχην, μέσον καὶ τέλος πρβλ. Πολυβ. Α, 63 «διελόντι δὲ εἰς τρία τὸν μῆνα τὸ τρίτον ἂν αὐτοῦ καλοῖτο *δεχήμερον*») οὐδὲν ἰσχύει πρὸ τῆς κατὰ φύσιν, οὕτως εἰπεῖν, ἑφθημέρου. Ἡ παλαιτάτη τοῦ μηνὸς διαίρεσίς ἐστιν ἡ δυαδική, ἡ *διχομηνία*, ὁ μὴν *ἱστάμενος* καὶ *φθίνων*. Ἐκ ταύτης δὲ διαιρεθείσης ἡ *ἑφθήμερος* ἑβδομὰς ἐγένετο· πρβλ. καὶ *Fries* ἐν Ilberg's N. Jahrb. f. cl. Alt. κτλ. 1902 σελ. 693 ἑξῆς. Καὶ ἡ σελήνη δὲ διῃρεῖτο εἰς μηνοειδῆ, διχότομον, ἀμφίκυρτον καὶ πανσέληνον. Ἐν τέλει δὲ παρατηρητέον ὅτι ἡ ἐξ ἀρχῆς τοῦ χρόνου διαίρεσις παρά τε Βαβυλωνίοις καὶ Ἀσσυρίοις καὶ παρ' ἄλλοις λαοῖς ὡρμήθη ἐκ τοῦ ἀριθμοῦ **πέντε** τῶν δακτύλων τῆς χειρός. Ἠρίθμει τις κατὰ ταῦτα τὰς ἡμέρας ἀνὰ πέντε. Τοιαῦται «δακτυλικαὶ» ἑβδομάδες ἐγίγνοντο τρεῖς μὲν μεταξὺ πανσελήνου καὶ νέας σελήνης, τρεῖς δὲ μεταξὺ νέας σελήνης καὶ πανσελήνου. Ἀλλ' ἐν τῇ διαιρέσει ταύτῃ ὁ ἀριθμὸς **ἑπτὰ** ὁρμηθεὶς ἐκ τῶν ἑπτὰ πλανητῶν—

Τούτων δ' οὕτως ἐχόντων εὔκολόν ἐστι διασαφεῖν τὴν πολλὴν καὶ ἱερὰν τοῦ ἀριθμοῦ χρῆσιν ἐπὶ τεταγμένου χρόνου ἢ προθεσμίας εἴτε ἐφθημέρου, εἴτε ἑπταμήνου, εἴτε ἑπταετοῦς κτλ. ἢ ἐπὶ χρονικοῦ ὁρίου (ἴδε κατωτέρω). Ἡ ἑπταδικὴ αὕτη παρατήρησις τῶν τῆς σελήνης σχημάτων ἠδύνατο, ὡς εἰκός, παρὰ παντὶ ἔθνει αὐτομάτως γενέσθαι, ὡς περὶ τούτου ἐκτενῶς διέλαβεν ὁ *Roscher*, Siebenzahl σελ. 73 ἑξ. 88 ἑξ. (ἔνθα ὁ λόγος περὶ τῶν παρὰ Κέλταις ἰσχυόντων), καὶ ὁ *F. Boll* ἐν PW. Ζ' στήλ. 2256. Ταύτας τὰς ἑπταδικὰς προθεσμίας βλέπομεν ἤδη παλαιότατα καὶ πολλάκις ὑπαρχούσας ἐν τῇ λατρείᾳ καὶ ἄλλων μὲν θεῶν (Διονύσου: Διόνυσος Ἑβδομεὺς ἐν IG Ins. Β' 123, Ἥρας, Δήμητρος), μάλιστα δὲ πάντων τοῦ *Ἀπόλλωνος*[1]. Τούτου δὲ σαφῶς καὶ ἀναντιρρήτως ἀποδεδειγμένου καὶ ὁμολογουμένου, οὐ χαλεπὸν ἑρμηνεῦσαι τὰς πολλὰς τοῦ Ἀπόλλωνος ἀναφορὰς πρὸς τὸν ἀριθμὸν *ἑπτά*, ὃς τῷ χρόνῳ ἀπέβη ἱερὸς τοῦ θεοῦ τούτου[2].

ἢ μᾶλλον κατ' ἐμὴν γνώμην ἐκ τῆς σελήνης—τοιαύτην σύγχυσιν καὶ ταραχὴν ἐπήνεγκεν, ὥστε ταύτην καὶ νῦν ἔτι καθορῶμεν ἐν τοῖς ἱεροῖς τῶν Χαλδαίων βιβλίοις· ἴδε καὶ Troels-Lund, Himmelsbild σελ. 29.

[1]) Κατὰ τὴν μαρτυρίαν τοῦ *Λυδοῦ* (περὶ μηνῶν σελ. 25 ἐκδ. Βόννης) «οἱ μαθηματικοὶ πρὸς τὸ μυθικώτερον ῥέποντες τῷ ***Κρόνῳ τὴν ἑβδόμην ἡμέραν*** προσφωνοῦσιν οἱονεὶ τῷ πατρὶ τῶν ἐμφανῶν θεῶν», οἱ δὲ Πυθαγόρειοι τῇ Ἀθηνᾷ «τῇ γὰρ περιόδῳ τῆς ἑβδομάδος πάντα ἀθάνατα διασῴζεται». (Λυδ. ἔ.ἀν. 43) πρβλ. καὶ *Ἰωάνν. Στοβ.* Φυσ. Α', 10 «Πυθαγόρας ἐπωνόμαζε τὴν ***ἑβδομάδα*** Καιρὸν καὶ ***Ἀθηνᾶν***» καὶ ὁ *Πρόκλος* δὲ εἰς Πλατ. Τίμ. 24, α (τόμ. Α' σελ. 151 ἐκδ. **Diehl**) τάδε περὶ τῆς Ἀθηνᾶς μαρτυρεῖ: «εἰ δὲ τὸ τῆς φρονήσεως ἐπιμελούμενον προσθείης, πάντως ***Ἀθηναϊκὴν*** *εὑρήσεις* οὖσαν ***τὴν ἑπτάδα***. Καὶ ἔστι καὶ τοῦτο τῶν τεθρυλημένων, καὶ τὸ ἀθήλυντον τῆς ἑπτάδος ὕμνηται. Καὶ τὸ ἐκ μόνης εἶναι μονάδος, καὶ ὅτι μάλιστα τῆς Ἀθηνᾶς εἰκὼν ἡ μονάς, ἡ τρίτη καὶ ⟨ἡ⟩ **ἑπτάς**». Περὶ τῆς **ἑπτάδος** ὡς «εἰκόνος τῆς Ἀθηνᾶς», **Ἀθηναϊκῆς** ἴδ. καὶ *Πρόκλ.* εἰς Πλάτ. Πολιτ. τόμ. β' σελ. 192 ἐκδ. Diehl. Ὅτι ἡ Ἀθηνᾶ ἐνομίζετο καὶ θεὰ τῆς σελήνης παραδίδωσιν ἡμῖν Ἀριστοτέλης κατὰ τὴν μαρτυρίαν τοῦ *Ἀρνοβίου* (adv. nat. III, 31) καὶ πολλοὶ τῶν Λεξικογράφων ἴδ. *Μέγ. Ἐτυμολ.* ἐν λ. *Τριτογένεια* (767 στίχ. 46), ***Ἁρποκρατ.*** καὶ ***Σουΐδ.*** ἐν λ. ***τριτόμηνις*** (τριτομηνίς) πρβλ. καὶ *Roscher*, Selene 124 καὶ σημ. 530, καὶ *W. Schmid*, Geburtstag 101 σημ. 2 Περὶ τῆς **Ἥρας** ἴδ. *Roscher*, Siebenzahl s. 27.

[2]) *Roscher*, Siebenzahl σελ. 4, ἑξ. Πλεῖστοί εἰσιν οἱ συγγραφεῖς, Ἕλληνές τε καὶ Ῥωμαῖοι, παρ' οἷς ὁ ἀριθμὸς ἑπτὰ εὕρηται ἔχων τὴν τοιαύτην ἱερὰν καὶ μαγικὴν σημασίαν. Πλὴν Ὁμήρου ἀναγράφω ἐνταῦθα Ἡσίοδόν τε καὶ Ἡρόδοτον καὶ Ἰάμβλιχον καὶ Πλούταρχον καὶ Φίλωνα τὸν Ἰουδαῖον καὶ Ἰώσηπον καὶ Ἰουστῖνον τὸν μάρτυρα καὶ Κλήμεντα τὸν Ἀλεξανδρέα καὶ Πλωτῖνον καὶ Πορφύριον

Ὁ Ἀπόλλων ἐγεννήθη τῇ ἑβδόμῃ τοῦ μηνός, ἡ δ' ἀδελφὴ αὐτοῦ *Ἄρτεμις* τῇ *ἕκτῃ*[1], καὶ ἑορταὶ δ' αὐτοῦ ἦν ἡ ἑβδόμη τοῦ τε Θαργηλιῶνος (Μαΐου) καὶ Πυανοψιῶνος παρ' Ἀθηναίοις, τούτου μὲν φθινοπωρινοῦ μηνὸς ὅτε καὶ προσεφέρετο τῷ θεῷ «πόπανον», ἐκείνου δὲ τοῦ μηνὸς τῆς ἀρχομένης θερμότητος καὶ πεπάνσεως τῶν καρπῶν, καὶ ἡ ἑβδόμη τοῦ Θαργηλιῶνος παρὰ Δηλίοις (παρ' οἷς ἱερὰ τοῦ Ἀπόλλωνος ἦν καὶ ἡ ἑβδόμη τοῦ ἀντιστοίχου πρὸς τὸν Ἀνθεστηριῶνα τῶν Ἀθηναίων *Ἱεροῦ* (;) μηνὸς (ἴδ. *W. Schmidt*, Geburtstag σελ. 13 καὶ 91 καὶ *Preller-Robert* I, 245 σημ. 4). Ὡσαύτως δ' ἐνομίζετο ἱερὰ τοῦ Ἀπόλλωνος ἡ ἑβδόμη τοῦ Πυανοψιῶνος παρὰ τοῖς Ἐλευσινίοις (*Dittenberger*. Syll². 628,7), καὶ τοῦ μηνὸς Βυσίου παρὰ τοῖς Δελφοῖς (Πλουτ. Ἠθ. 292, e. Ditt. ἔ. ἀν. 438, 70; BCH. XIX (1895) 66, *Mommsen*, Delphika 280 ἑξ.) καὶ τοῦ Ἑκατομβαιῶνος παρὰ τοῖς Μυκωνίοις (*Ditt* ἔ. ἀν. 615, 30. *Preller-Robert* I, 263,1) καὶ τοῦ Καρνείου παρὰ τοῖς Κυρηναίοις (*Πλουτ*. Συμποσ. Η', 1, 2 «Κάρνεια Κυρηναίων ἀγόντων· ἑβδόμῃ δ' ἀμφοτέρας ἑορτάζουσι») καὶ τοῦ Ἀρτεμισίου παρὰ τοῖς Ἀντιοχεῦσι. Ἐπὶ δὲ τὴν λατρείαν τῶν ἄλλων θεῶν μετηνέχθη ὁ ἁγιασμὸς τοῦ ἀριθμοῦ ἑπτὰ κατ' ἐμὴν γνώμην ἐκ τῆς λατρείας τοῦ Ἀπόλλωνος, γεννηθείσης, καθ' ἃ ὁ *Wilamowitz* (Hermes ΛΗ', 575) ἀπέδειξεν ἐν τῇ Μικρᾷ Ἀσίᾳ. Καὶ οἱ Δελφοὶ δὲ ὁ κατὰ Πίνδαρον *γᾶς ὀμφαλὸς* (Πυθ. ΣΤ' 3 Η' 85. κτλ. *Πλατ*. Πολιτ. Δ' 427, c) ἦν ἤδη ἀρχομένου τοῦ ἑβδόμου π. Χ. αἰῶνος μέγα ὁρμητήριον τῆς ἱερᾶς τοῦ ἀριθμοῦ λατρείας[2].

Παρατιθέμεθα νῦν τινα τῶν πρὸς τὴν Ἀπολλωνιακὴν ἱερότητα τοῦ ἀριθμοῦ χωρίων τῆς ἀρχαίας Ἑλληνικῆς γραμ-

---

καὶ Πρόκλον καὶ Ἱεροκλέα—καὶ τοὺς Ῥωμαίους Αὖλον Γέλλιον καὶ Ἀμμιανὸν Μαρκελλῖνον καὶ Αὐγουστῖνον καὶ Μαρτιανὸν Καπέλλαν, καὶ εἴ τιν' ἄλλον.

[1]) Πάντες δ' οἱ μῆνες ὁμοίως διερχόμενοι ἰδίου ὀνόματος ἐστεροῦντο ἐν τοῖς τοῦ Ἡσιόδου χρόνοις, βραδύτερον δ' ἔλαβον ὀνόματα ὡς ἐπὶ τὸ πολὺ ἐξ ἑορτῶν, καὶ λατρεῖαι δέ τινες θεῶν ἢ ἀνθρώπων θεοποιηθέντων ἐπανελαμβάνοντο κατὰ μῆνα πρβλ. Σοφ. Ἠλεκτρ. 281, ἴδ. *W. Schmidt*, Geburtstag σελ. 12 ἑξ.— Ὁ Σχολιαστὴς τοῦ Ἀριστοφ. Πλοῦτ. 1126 σημειοῦται «ἑκάστου μηνὸς ἡ νουμηνία καὶ ἡ ἑβδόμη ἀφιέρωτο τῷ Ἀπόλλωνι, ἡ δὲ τετάρτη τῷ Ἑρμῇ, ἡ δὲ ἕκτη τῇ Ἀρτέμιδι».

[2]) Ἴδ. *Diels* DL. 29 Ἰουλ. 1911, στήλ. 1863.

ματείας, ὧν τὸ πλῆθος ἀμήχανον. Ἤδη *Ἡσίοδος* (Ἔργ. καὶ Ἡμ. 769 ἑξ.) ἐκτιθέμενος τὰς ἡμέρας αἵ «εἰσι Διὸς πάρα μητιόεντος» ποιεῖται μνείαν καὶ τῆς *ἑβδόμης* ὡς ἱερᾶς ἡμέρας «τῇ γὰρ Ἀπόλλωνα χρυσάορα γείνατο Λητώ»[1]. Καὶ ὁ *Ὀρφεὺς* δὲ (ἐκ τῶν παρὰ *Ἰωάννῃ τῷ Λυδῷ*, περὶ μηνῶν 2, 11, σελ. 212 παρὰ Abel) εἶπεν «*ἑβδόμῃ* ἣν ἐφίλησεν ἄναξ ἑκάεργος Ἀπόλλων». Ὁ *Διονύσιος* Ἁλικ. Τεχν. Ρητορ. 3, 243 (R) σημειοῦται τάδε «*ἑβδόμη* καὶ ἕκτη ἱεραὶ τοῖν θεοῖν» (τ. ἔ. Ἀπόλλωνος καὶ Ἀρτέμιδος) καὶ ὁ *Πρόκλος* εἰς Ἡσιόδ. Ἔργ. στ. 767 «Οἱ Ἀθηναῖοι ταύτην τὴν (ἑβδόμην ἡμέραν) ὡς Ἀπολλωνιακὴν τιμῶσι δαφνηφοροῦντες καὶ τὸ κανοῦν ἀποστρέφοντες (ἐπιστέφοντες Scaliger) καὶ ὑμνοῦντες τὸν θεόν». Περὶ τῶν ἐν Κρότωνι ἴδ. Ἀθην. 522, c. Καθ' ὅλου δ' εἰπεῖν ἡ ἑβδόμη ἡμέρα ἐκ τούτου καὶ αἴσιος ὑπελαμβάνετο. Καλλιμ. Ἀποσπ. 15 «ἑβδόμη εἰν ἀγαθοῖσι, καὶ ἑβδόμη ἐστὶ γενέθλη[2]». Γιγνώσκομεν δὲ καὶ τὰ ἐπίθετα τοῦ Ἀπόλλωνος *ἑβδόμειος* ἐν Ἀττικῇ (CIG 463. CIA τόμ. Β' 1653, κτλ.), *ἑβδομαγέτης* (*Αἰσχ.* Ἑπτ. 800) καὶ *Ἑβδομαγένης* (παρὰ *Πλουτάρχῳ* «τῷ *Δελφικῷ* ἱερεῖ διὰ βίου» Ἠθ. 717, d.[3]

---

[1]) Πρὸς ταῦτα ὁ Μοσχόπουλος σημειοῦται (ἴδ. Poet. minor. Graec. ἐκδ. Gaisford II, σελ. 421: εἶτα ἐπάγει (ὁ ποιητής) τὴν αἰτίαν ὅπως ἱερὰ ἡ ἑβδόμη, καὶ φησί· κατὰ ταύτην γὰρ ἔτεκε ἡ Λητὼ τὸν Ἀπόλλωνα, ἤγουν τὸν ἥλιον τὸν χρυσοειδεῖς ἀκτῖνας ἔχοντα· τοῦτο γὰρ δύναται τὸ χρυσάορα, τὸν χρυσῆν σπάθην φέροντα δηλονότι. Πρβλ. καὶ *Πρόκλον* εἰς Ἡσ. ἔργ. 767 (Gaisford ἔ. ἀν. σελ. 420). καὶ *Εὐσταθ.* 1908, 52 «Ἀπόλλωνος ἱερὰ πᾶσα νουμηνία καθὰ καὶ ἡ τοῦ σεληνιακοῦ μηνὸς *ἑβδόμη* ὡς γενέθλιος Ἀπόλλωνος». Σημείωσαι δ' ὅτι ἐν Ἑλλάδι μάλιστα ἐξηυρέθη ἡ διδασκαλία περὶ τῶν αἰσίων ἢ ἀπαισίων ἡμερῶν τῶν μηνῶν. ἴδε *Boll,* Sternglaube σελ. 22.

[2]) Περὶ τῆς ἑβδόμης ἡμέρας ὡς ἱερᾶς τοῦ Ἀπόλλωνος ἴδ. καὶ *Usener* ἐν Rh. Mus. NII' (1903) σελ. 349 ἢ ἐν Kl. Schriften τόμ. Δ' (1913) σελ. 135 ἑξ. καὶ *Dittenbeger* Sylloge[2] 438, 170. καὶ *Roscher*, Hipp. Schrift σελ. 31.

[3]) Ἴδ. *Pomtow* ἐν Jahrb. f. cl. Phil. 1889 σελ. 551 ἑξ. Ὁ *Valckenaer* ἐν διατριβῇ εἰς Ἀριστόβουλον τὸν Ἰουδ. ἐκδ. Luzak, ἐν Λουγδ., 1806 σελ. 115, μεταβάλλει αὐτὸ εἰς *ἑβδομαγέτης* (πρβλ. τὸν τὰ τοῦ Φιλοχόρου οἰκειούμενον *Πρόκλον* εἰς Πλάτ. Τίμ. 200 c d καὶ 233. Ἡ Ἀθηνᾶ ἐκαλεῖτο *τριτογενὴς* καὶ Τριτογένεια. Ἄλλην μαρτυρίαν πρὸς τὴν ἱερὰν τοῦ Ἀπόλλωνος ἑβδόμην ἡμέραν ἴδε παρὰ τῷ Ῥωμ. γραμματικῷ Κηνσωρίνῳ, De die natali 14,13 (ἐκδ. Hultsch). Αἱ ἕβδομαι ἡμέραι τῶν μηνῶν ἐνομίζοντο πολλάκις καὶ *ἑορταὶ* τοῦ Ἀπόλλωνος. ἴδ. ἀνωτέρω καὶ *A. Mommsen*, Feste d. Stadt Athen 1898, σελ. 325. 444,5. 469. καὶ *Prott*, Leg. sacr. 7 καὶ 10. Ὁ *Usener* (Rh. Mus. ΛΔ', 421 ἀνα-

προβλ. καὶ περὶ τοῦ ἐν Δελφοῖς Ε 17 «καὶ τί δεῖ περὶ τῶν ἄλλων λέγειν; ἡ γὰρ ἱερὰ τοῦ Ἀπόλλωνος ἑβδομὰς ἀναλώσει τὴν ἡμέραν πρότερον ἢ λόγῳ τὰς δυνάμεις αὐτῆς ἁπάσας ἐπεξελθεῖν»). Ἐν τῷ παραμυθητικῷ πρὸς Ἀπολλώνιον τοῦ *Πλουτάρχου* 14 (Ἠθικ. 109 a) φέρεται ὅτι περὶ Ἀγαμήδους καὶ Τροφωνίου φησὶ Πίνδαρος τὸν ναὸν τὸν ἐν Δελφοῖς οἰκοδομήσαντας αἰτεῖν παρὰ τοῦ Ἀπόλλωνος μισθόν, τὸν δ' αὐτοῖς 'ἐπαγγείλασθαι εἰς *ἑβδόμην ἡμέραν* ἀποδώσειν. ἐν τοσούτῳ δ' εὐωχεῖσθαι παρακελεύσασθαι· τοὺς δὲ ποιήσαντας τὸ προσταχθὲν *τῇ ἑβδόμῃ νυκτὶ* κατακοιμηθέντας

φερόμενος εἰς τὸ ἐπίθετον τοῦ Ἀπόλλωνος *νεομήνιος* (πρβλ. καὶ *Wilamowitz* Hom. Unters. 54) καὶ εἴς τινα ἐπιτύμβιον ἐκ Θεσσαλονίκης ἐπιγραφὴν (*Kaibel*, Ep. Gr. 518) ἡγεῖται παρὰ τοῖς Μακεδόσι τὴν πρώτην τοῦ μηνὸς γενέθλιον νομίζεσθαι τοῦ Ἀπόλλωνος, ὡς ἐνίοτε καὶ παρὰ τοῖς Πυθαγορείοις ὁ ἀριθμὸς ἓν ὑπελαμβάνετο τούτου ἱερός (ἴδ. Σχολ. Ἀριστοφ. Ἱππ. 1126). Καὶ ἡ *εἰκοστὴ* τοῦ μηνὸς ἐνομίζετο ἱερὰ τοῦ Ἀπόλλωνος (ἴδ. *Μ. Ἐτυμ.* 297,57 ἐν λ. *Εἰκάδιος*) «ἐν τῇ εἰκάδι τοῦ μηνὸς ἑορτὴ ἐπετελεῖτο τῷ Ἀπόλλωνι· καὶ ἐλέγετο ἡ ἱέρεια εἰκάς. Ἐπειδὴ οὖν ἐν ταύτῃ τῇ ἑορτῇ ἐγεννήθη, λέγεται *Εἰκάδιος*», τοῦτο δ' ἐγὼ οὐχὶ πρὸς τὸν εἰκοστὴν ἀλλὰ πρὸς τὴν εἰκοστὴν πρώτην (7-14-21) ἀναφέρω. Κατὰ τὸν *Πλούταρχ.* Δίων. 23 καὶ ἡ *διχομηνία* ἦν ἱερὰ τοῦ Ἀπόλλωνος. Τὴν δὲ *ἑβδόμην* παλαιότατα ἤδη *κρίσιμον ἡμέραν* νομίζεσθαι διδασκόμεθα ὑπό τε τῶν Πυθαγορείων καὶ ὑπὸ τοῦ ψευδεπιγράφου ἰατροῦ *Ἱπποκράτους* (π. ἑπταμήν. I σελ. 451 Kühn) «αἱ μὲν οὖν ἡμέραι ἐπισημόταταί εἰσιν ἐν τοῖς πλείστοις αἵ τε πρῶται καὶ ἕβδομαι πολλαὶ μὲν περὶ νούσων πολλαὶ δὲ καὶ τοῖς ἐμβρύοις. Τρωσμοί τε γὰρ γίνονται καὶ οἱ πλεῖστοι ταύταις ταῖς ἡμέραις». Ἱπποκρ. I σελ. 249 K.: Ἴκτερος πρὸ μὲν τῆς ἑβδόμης ἡμέρας ἐπιγενόμενος κακόν. ἑβδόμη δὲ καὶ ἐνάτη καὶ ἐνδεκάτη καὶ τεσσαρεσκαιδεκάτη κρίσιμον. Πρβλ. *Roscher*, Hipp. Schrift σελ. 104 καὶ 47 ἑξ. ἴδε καὶ *M. Wellmann*, Fragm. der gr. Aerzte Α' 1901, σελ. 42. 161 (ἀποσπ. 110) καὶ *Γαλην.* περὶ κρισίμ. ἡμερῶν IX, 775 (καὶ παρὰ Wellmannε. ἀν. σελ. 159 [ἀπόσπ. 104]) ὅταν οὖν μὴ μόνον ἐμοὶ τῷ τοσαύτοις ἔτεσι παραφυλάττοντι τοιαύτη τις εὑρίσκεται διαφορὰ τῶν ἡμερῶν (τ. ἔ. τὴν *ἑβδόμην* καὶ ἕκτην ἡμέραν κρίσιμον εἶναι, τὴν δὲ δωδεκάτην καὶ ἑκκαιδεκάτην οὔ) ἀλλὰ καὶ τοῖς περὶ τὸν Ἀρχιγένην πάνυ δή τι τοῖς ἔργοις τῆς τέχνης προσεδρεύσασι, καὶ τούτων ἔτι ἀνωτέρω τοῖς περὶ [τόν, Kalbfleisch] Ταραντῖνον Ἡρακλείδην, ἐκ τῆς πείρας ἀθροίσασι τὴν θεωρίαν, ἔτι τε τοῖς περὶ τὸν Φυλότιμόν τε καὶ Διοκλέα (Fraenkel σελ. 7) καὶ τοὺς ἄλλους παλαιούς, καὶ πρὸ τούτων ἁπάντων τοῖς περὶ τὸν θειότατον Ἱπποκράτην, πῶς οὐκ ἄν τις δικαίως ἡγοῖτό τινα διαφορὰν ἐν τῷ τῶν ἡμερῶν ἀριθμῷ;». Κατὰ τὸν Ψ. Ἱπποκρ. περὶ ἑβδομ. 26 (8,650 Littré) κρίσιμοι ἡμέραι τῶν ἀσθενειῶν ἐνομίζοντο αἵδε: ἡ 7μη, 14τη, 21τή, 28τή, 35τή, 42τή, 49τή, 56τή, 63τή. Τοῦτο δὲ κατὰ τὸν *Roscher* (Fristen 50) ἐμφαίνει ἡμῖν σειρὰν ἀριθμητικὴν ὑπομιμνήσκουσαν τὴν προϊοῦσαν ἐφθήμερον ἑβδομάδα τῶν Ἰουδαίων καὶ τῶν βραδύτερον

τελευτῆσαι. Καὶ ἐν Ἑλληνικῶν κεφ. Θ' (Ἠθικ.292. d) λέγει ὁ αὐτὸς ὅτι ἐν τῷ μηνὶ τούτῳ (τ. ἔ. τῷ Βυσίῳ) χρηστήριον ἐγίγνετο καὶ *ἑβδόμην ταύτην νομίζουσι τοῦ θεοῦ γενέθλιον* (πρβλ. καὶ Dittenberger Syll². 438, 170 καὶ *Usener*, Dreiheit ἐν Rhein. Mus. XII' (1903) σελ. 347. A. *Tresp*, Die Fragmente σελ. 78 καὶ *W. Schmidt* Geburtstag σελ. 89). Ὁ Wilamovitz ἐξέδωκεν (ἐν Abhandl. τῆς ἐν Βερολίνῳ Ἀκαδημείας 1904 σελ. 622) ἐπιγραφὴν ἐκ Μιλήτου, χαραχθεῖσαν μὲν περὶ τὸ 100 π. Χ. ἀναγομένην δ' ὅμως εἰς τὸν ΣΤ' αἰῶνα π. Χ., ἐξ ἧς διδασκόμεθα καὶ νέαν τοῦ Ἀπόλλωνος ἑορτήν, ἄγνωστον ἡμῖν ἀλλαχόθεν, *τὰ ἑβδομαῖα* (ἰδὲ

ἀστρολόγων. Ἔτι δ' ὁ Γαληνὸς σημειοῦται τάδε «εἰς τὸ περὶ φύσεως ἀνθρώπου βιβλίον Ἱπποκράτους ὑπόμνημα» σελ. 52 (Corp. Medic. Graec. Ε' 9. 1) «βούλεται γὰρ αὐτὸς (τ. ἔ. ὁ Ἱπποκράτης, πρβλ. I, 43=8, VI, 50,14-52 1 L.) ὅσα χρονίζει νοσήματα καὶ μὴ κατὰ περιόδους ἡμερῶν, ἀλλὰ μηνῶν κρίνεται, λύεσθαι ταῦτα κατὰ τὴν ἐναντίαν ὥραν ᾗ συνέστη, τουτέστιν *ἑβδόμῳ μηνί*· μὴ λυθέντων δ' αὐτῶν οὕτως ἐνιαυσιαῖον γίνεσθαί φησι (ὁ Ἱππ.) τὸ νόσημα. Τὸ δ' ἐνιαύσιον ὄνομα δύναται μὲν δηλοῦν καὶ τὸ μετὰ ἐνιαυτὸν τῆς πρώτης ἑαυτοῦ γενέσεως λυόμενον, δύναται δὲ καὶ τὸ κατὰ *περίοδον ἐνιαυτῶν ἑπτά*, ὡς ⟨λέγει νοσήματα λυόμενα κατὰ περίοδον ἑπ⟩τὰ (Mewaldt) μηνῶν. ἔλεγε γοῦν καὶ κατὰ τοὺς Ἀφορισμοὺς (III, 28. IV 500, 4-6 L.) ὧδε· τὰ πλεῖστα τοῖσι πεδίοισι πάθεα κρίνονται τὰ μὲν ἐν τεσσαράκοντα ἡμέρῃσι, τὰ δ' ἐν *ἑπτὰ μησί*, τὰ δὲ ἐν *ἑπτὰ ἔτεσι*, τὰ δὲ πρὸς τὴν ἥβην προάγουσι». Πρβλ. καὶ Ἀρετ. σ.21 K. (περὶ πλευρίτιδος) «ἢν μὲν οὖν ἐς κακὸν τρέπηται ἡ νοῦσος, πάντων ἐπὶ τὸ κάκιον ἐπιδιδόντων, ἐντὸς ἑβδόμης οἵδε θνήσκουσι ἐς συγκοπὴν ἐμπεσόντες».—Οἱ Πυθαγόρειοι ἄλλα τε καὶ τὴν ἱερότητα τοῦ ἀριθμοῦ ἑπτὰ ἐκ τῆς Ἀπολλωνιακῆς παρέλαβον λατρείας. Ὁ Πυθαγόρειος δ' οὗτος «*Ἑβδομ δισμὸς*» ὡς νῦν ἐκλήθη (ἰδ. *H. Diels*, Die antike Technik ἐκδ. Β' ἐν Λιψίᾳ 1920, σελ. 25 ἑξ.) ἀναφαίνεται παρὰ προσδοκίαν καὶ παρὰ ψυχολόγοις τῶν καθ' ἡμᾶς χρόνων. Τοιοῦτοί εἰσι (ἰδ. Diels ἔνθ. ἀν.) ὅ,τε *P. J. Möbius* καὶ ὁ *H. Swoboda*. Καὶ ὁ μὲν πρῶτος ἐπειράθη ὑπαγαγεῖν τὰ ἀκρότατα σημεῖα τῆς τε ἐρωτικῆς καὶ τῆς ποιητικῆς τοῦ Goethe ἐξελίξεως εἰς ἑπταετεῖς χρονικὰς διαιρέσεις (ἰδ. Ausgew. Werke II, 1, ἐν Λιψίᾳ 1903, σελ. 218 ἑξ.), ὁ δὲ Swoboda πειρᾶται τὸν ἑπταετῆ χρόνον κύριον ἀποδεῖξαι καὶ ῥοπὴν ἔχοντα ἐπὶ τὴν ζωὴν τῶν ἀνθρώπων. ἰδὲ Das Siebenjahr. Untersuchungen über die zeitl. Gesetzmässigkeit des menschl. Lebens. Die Lösung des Vererbungsproblems mit Hilfe der Periodentheorie. Ἐν Βιέννῃ 1917. Περὶ τὰς Πυθαγορικὰς ταύτας τῶν καθ' ἡμᾶς ψυχολόγων θεωρίας ἐσπούδασάν τινες τῶν νεωτέρων φυσιοδιφῶν (ἰδὲ *W. Hellpach*, Geopsychische Erscheinungen ἐκδ. Β' ἐν Λιψίᾳ 1917 σελ. 292), ἄλλοι δὲ ταύτας ὡς ἀσυστάτους καὶ καταγελάστους ἀπετρίψαντο ἰδ. von *Luschan*, Altweiber-Psychologie ἐν D. Med. Wochenschr. 1916, 1 ἑξ.

καὶ Athen. Mitteilungen 1898 σελ. 24 «*ἑβδόμῃ* ἱσταμένου εἰς *ἑβδομαῖον* οἷς λειπογνώμων Πυθαΐσταις θύων»). Καὶ Τειρεσίας δὲ ὁ «τῷ Λοξίᾳ δοῦλος ζῶν» (*Σοφ.* Οἰδ. Τ. 410) πολλάκις τῷ ἀριθμῷ ἑπτὰ συνάπτεται[1]. Ἐπὶ τοσοῦτο δ' ἐπέδωκεν ἡ τοῦ Ἀπόλλωνος πρὸς τὸν ἀριθμὸν ἑπτὰ σύνδεσις, ὥστε συνέβη τὸν θεὸν καὶ *ἑπταμηνιαῖον* κληθῆναι («φταμηνήτικο»). Ἴδε *Σχολ.* εἰς *Πινδ.* Πυθ. σελ. 297 (*Boeckh*) καὶ εἰς Καλλίμ. ὕμν. σελ. 128 καὶ 314 (Schneider)[2]. Καὶ *Ἀέτιος* δὲ περὶ τῶν ἀρεσκ. 18. 1 (ἴδ. *Diels*, Doxographi σελ. 427. Fragm. der Vorsokr. Α' 214) ἐπισκοπῶν διὰ τί τὰ *ἑπταμηνιαῖα* γόνιμα. ἐπάγεται τὴν τοῦ Ἐμπεδοκλέους γνώμην ὅτι ὅτε ἐγεννᾶτο τὸ τῶν ἀνθρώπων γένος ἐκ τῆς γῆς τοσαύτη ἐγένετο τῷ μήκει τοῦ χρόνου διὰ τὸ βραδυπορεῖν τὸν *ἥλιον* ἡ ἡμέρα, ὁπόση νῦν ἐστιν ἡ δεκάμηνος· προϊόντος δὲ τοῦ χρόνου ὁπόση νῦν ἐστιν ἡ *ἑπτάμηνος*. Ἰστέον δὲ ὅτι ἐκ ταύτης δήπου τῆς αἰτίας ἐνομίζετο βραδύτερον παρὰ τοῖς ἀστρολόγοις σφόδρα αἴσιον τὸ ἑπταμηνιαῖον γενέσθαι ἴδ. *Cens.* de die nat. 8, 10, καὶ πρβλ. *Schömann-Lipsius*, Gr. alt. II, 399 καὶ *W. Schmidt*, Geburtstag 93 σημ. 2.

Τῶν νεογενῶν δὲ παιδίων ἑορτὴ ἦν ἡ ἑβδόμη ὡς τοῦτο πολλοῖς μαρτυρεῖται. Οἷον *Ἁρποκρατίων* ἐν λ. *ἑβδομευομένου* σημειοῦται ὅτι «τοῖς ἀποτεχθεῖσι παιδίοις τὰς ἑβδόμας (Dobree. *ἑβδομάτας* τὰ χφα) καὶ τὰς δεκάτας ἦγον», καὶ ἐν τῷ *Μεγαλ.* *Ἐτυμολ.* 308. 41 προστίθεται «καὶ τά γε ὀνόματα ἐτίθεντο αὐτοῖς· οἱ μέν, τῇ ἑβδόμῃ· οἱ δέ, τῇ δεκάτῃ» τοῦτο δὲ καὶ παρ' *Ἡσυχίῳ* (ἐν λ. *ἕβδομαι*)

[1]) Πρβλ. *Τζέτζην* εἰς Λυκοφρ. 682 Τειρεσίαν (...) φασὶν (...) *ἑπτὰ* γενεὰς ζῆσαι. ἄλλοι δὲ ἐννέα. ἴδ. καὶ Ὑγίν. Ἀπ. 75 καὶ πλείω περὶ τῆς σχέσεως τοῦ Τειρεσίου πρὸς τὸν Ἀπόλλωνα καὶ περὶ τῆς θυγατρὸς τοῦ Τειρεσίου Μαντοῦς *Roscher*, ἐν Philologus Ξ' 364, Siebenzahl σελ. 8 καὶ *A. Bouché-Leclercq* Histoire de la divination dans l'antiquité, ἐν Παρισίοις, τόμ. Β' (1880), σελ. 33 ἑξ.

[2]) Τὰ τῆς γεννήσεως αὐτοῦ ἴδε παρὰ **Καλλιμάχῳ**, Ὕμν. εἰς Δῆλον 249 «κύκνοι δὲ θεοῦ μέλποντες ἀοιδοὶ (μέλλοντες ἄοζοι, Meineke) | Μηόνιον Πακτωλὸν ἐκυκλώσαντο λιπόντες | *ἑβδομάκις* περὶ Δῆλον». ***Ἑπταμηνιαῖος*** λέγεται ὅτι καὶ ὁ Διόνυσος ἐτέχθη. ἴδ. Λουκ. διάλογ. θε. 9, 2. «*Βάκχος* ἑπταμηνιαῖος» κατὰ τὸν Ῥωμαῖον Κορνοῦτον II, 3. Λέγεται καὶ περὶ τοῦ ***Εὐρυσθέως*** τὸ αὐτό. Τὸν Ἀπόλλωνα ἐκάλουν καὶ ***Νεομήνιον***, Σχολ. εἰς Ὁμ. Ὀδ. υ 155). Πρβλ. Schmidt, Geburtstag σελ. 88.

εὕρηται πιστούμενον «ἑβδόμην ἡμέραν ἀπὸ γενέσεως παιδίου ἑορτάζουσι»· ἴδ. πλείω παρὰ *Preuner*, Hestia-Vesta σελ. 53 [1].

Πάντες δέ που ἴσμεν ὅτι οὐ μόνον τρεῖς ἀλλὰ καὶ *ἑπτὰ* (ἐν Λέσβῳ, ἴδ. *Preller-Robert*, Ἑλλ. Μυθολ. 491), ἡ ἐννέα *αἱ Μοῦσαι* ἐλέγοντο εἶναι, ὧν *Μουσαγέτης* Ἀπόλλων ἦν (πρβλ. *Roscher*, Siebenzahl σελ. 19, 35 ἑξ.), ὅτι ἑπτὰ *αἱ χορδαὶ* τῆς τοῦ θεοῦ τούτου λύρας ἦσαν [2], *ἑπτὰ νέοι* καὶ *ἑπτὰ νέαι* ἐστέλλοντο ἐξ Ἀθηνῶν εἰς Κρήτην, τοῦτο δὲ ὀρθῶς ἑρμηνεύεται ὡς αἰνιττόμενον τὴν λατρείαν τοῦ Δελφινίου Ἀπόλλωνος [3], ὅτι *ἑπτὰ* ἦσαν *οἱ υἱοὶ* καὶ *ἑπτὰ αἱ θυγατέρες* τῆς Νιόβης (κατὰ τὰς μαρτυρίας τῶν μετὰ τὸν Αἰσχύλον ἀττικῶν ποιητῶν) [4]. *Παυσανίας*

---

1) Περὶ τοῦ πέμματος ὃ *ἕβδομος βοῦς* ἐκαλεῖτο καὶ ἄλλοις τε θεοῖς καὶ τῷ Ἀπόλλωνι προσεφέρετο ἴδ. *Lobeck*, Agl. 1064 ἑξ. *Roscher*, Selene 112 Siebenzahl 104 ἑξ. *Stengel*, Hermes ΛΗ' (1903) σελ. 567 ἑξ. καὶ ἐν Berl. Phil. Woch. 1905 στήλ. 78. Τὴν περὶ αὐτοῦ μακρὰν ζήτησιν οὐ δύναμαι νῦν ἐνταῦθα διευκρινεῖν καὶ ἐξελέγχειν.

2) Πρβλ. *Πρόκλ.* εἰς Ἡσιόδ. Ἔργ. 768, καὶ τὰ ἐν τῇ Παλατ. Ἀνθολ. Θ', 250 περὶ τοῦ Ἀμφίονος λεγόμενα ὅτι *ἑπτάπυλον πάτρην* (Θήβην ἴδ. τὰ ἑπόμ.) *ἑπταμίτῳ ἐτείχισεν ἐν κιθάρῃ*» πρὸς ἃ ἀνάγνωθι καὶ τὰ ἐν Φιλοστρ. Εἰκ. Α, 10 ὅτι φιλότιμοι καὶ ἡδεῖς οἱ λίθοι καὶ θητεύοντες μουσικῇ· τὸ δὲ τεῖχος ἑπτάπυλον, ὅσοι τῆς λύρας οἱ τόνοι. καὶ Παυσαν. Θ' 5. πρβλ. καὶ *Wilamowitz*, Timotheos' die Perser σελ. 70 καὶ *Roscher*, Hipp. Schr. 129 ἑξ.

3) Πρβλ. *Πλουτ.* Θησ. 15, 18, 21. Βακχύλ. 14 (17 Ken.) 1 Κυανόπρωρα μὲν ναῦς μενέκτυπον | Θησέα *δὶς ἑπτὰ* τ' ἀγλαοὺς ἄγουσα | κούρους (=ἐφήβους καὶ παρθένους) Ἰαόνων | Κρητικὸν τάμνε πέλαγος. Πλάτ. Φαίδ. 58, α. ἴδ. καὶ O. *Müller*, Dorier I, 328. *Mommsen* ἔ. ἀ. 449 ἑξ. 286. *Roscher* ἐν Philologus Ξ', 366. σημ. 10 (ἐν ᾗ καὶ πάντα που τὰ ἀνήκοντα εἰς τοῦτο χωρία) καὶ ἐν τῇ διατριβῇ αὐτοῦ Siebenzahl σελ. 17.

4) Ἴδ. *Roscher*, ἐν Philologus Ξ' 367. Κατὰ τὸν Σχολ. εἰς Εὐριπ. Μήδ. 264 καὶ ἡ Μήδεια εἶχεν ἑπτὰ ἄρσενα καὶ ἑπτὰ θήλεα τέκνα «ταῖς δὲ Κορινθίαις οὐ βουλομέναις ὑπὸ βαρβάρου καὶ φαρμακίδος γυναικὸς (=Μηδείας) ἄρχεσθαι αὐτῇ τε ἐπιβουλεῦσαι καὶ τὰ τέκνα αὐτῆς ἀνελεῖν, *ἑπτὰ μὲν ἄρσενα, ἑπτὰ δὲ θήλεα*. ταῦτα δὲ διωκόμενα καταφυγεῖν εἰς τὸ τῆς Ἀκραίας Ἥρας ἱερὸν καὶ ἐπὶ τὸ ἱερὸν καθίσαι. Κορινθίους δὲ αὐτῶν οὐδὲ οὕτως ἀπέχεσθαι, ἀλλ' ἐπὶ τοῦ βωμοῦ πάντα ταῦτα ἀποσφάξαι. Λοιμοῦ δὲ γενομένου εἰς τὴν πόλιν πολλὰ σώματα ὑπὸ τῆς νόσου διαφθείρεσθαι. Μαντευομένοις δὲ αὐτοῖς χρησμῳδῆσαι τὸν θεὸν ἱλάσκεσθαι τὸ τῶν Μηδείας τέκνων ἄγος. ὅθεν Κορινθίοις μέχρι τῶν καιρῶν τῶν καθ' ἡμᾶς καθ' ἕκαστον ἐνιαυτὸν *ἑπτὰ κούρους* καὶ ἑπτὰ κούρας τῶν ἐπισημοτάτων ἀνδρῶν ἐναπενιαυτίζειν ἐν τῷ τῆς θεᾶς τεμένει καὶ μετὰ θυσιῶν ἱλάσκεσθαι τὴν ἐκείνων μῆνιν καὶ τὴν δι' ἐκείνους γενομένην τῆς θεᾶς ὀργήν.

δὲ (Β' 7. 8) πρὸς τούτοις ἡμῖν παραδίδωσιν ὅτι οἱ κάτοικοι τῆς Αἰγιαλείας (Σικυῶνος) ἵνα ἐξιλάσωνται τὸν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν ἀπέστελλον «*παῖδας ἑπτὰ καὶ ἴσας παρθένους* ἐπὶ τὸν Σύθαν ποταμὸν ἱκετεύσοντας». Τέλος μνημονευτέα ἥ τε ἐν Δήλῳ εἰκαζομένη *ἑπτετηρὶς* περὶ ἧς διδάσκει ἡμᾶς μόνον ὁ *Ἀριστοτέλης* ἐν τῇ Ἀθηναίων Πολιτείᾳ (κεφ. 54)[1], καὶ τὸ ὑπὸ Σωστράτου ἐν τῷ ἐλεγειακῷ ποιήματι Τειρεσίᾳ λεγόμενον (ἴδ. Εὐστάθ. 1665. 49)· φησὶ τοίνυν τὸν Τειρεσίαν θήλειαν τὴν ἀρχὴν γεννηθῆναι καὶ ἐκτραφῆναι ὑπὸ Χαρικλοῦς· καὶ *ἑπτὰ ἐτῶν* γενομένην ὀρειφοιτεῖν. ἐρασθῆναι δ' αὐτῆς τὸν Ἀπόλλωνα καὶ ἐπὶ μισθῷ συνουσίας διδάξαι τὴν μουσικήν. τὴν δὲ μετὰ τὸ μαθεῖν μηκέτι ἑαυτὴν ἐπιδιδόναι τῷ Ἀπόλλωνι. κἀκεῖνον ἀνδρῶσαι αὐτήν, ἵνα πειρῷτο ἔρωτος. Καὶ ὁ Σχολ. Τζέτζ. εἰς Λυκόφρ. (ἐκδ. Müller Α' σελ. 455) ἀνακοινοῦται ἡμῖν «οὐκ οἶδα ὅθεν εὑρὼν ἢ ψευδεπιγραφῶν (ὁ Λυκόφρων) *ἑπτὰ παῖδας ἄρρενας* λέγει τὴν *Θέτιν* ἐκ Πηλέως *τεκεῖν*, καὶ τοὺς μὲν ἓξ εἰς πῦρ βαλοῦσα ἀνεῖλεν ὡς μὴ κατὰ φύσιν αὐτῆς ὄντας καὶ ὡς ἀνάξια πάσχουσα ἑαυτῆς. ἐπὶ δὲ τοῦ Ἀχιλλέως ἐφωράθη καὶ ἐκωλύθη» τὴν θειότητα τοῦ ἥρωος δηλῶσαι βουλόμενος. Οὐδεμιᾶ ἄρα ἀμφιβολίᾳ ὑπόκειται τὸν ἀριθμὸν *ἑπτὰ* διαφερόντως *ἱερὸν τοῦ Ἀπόλλωνος* νενομίσθαι. Ἀλλ' ἐρωτᾶται τὸ ἐρώτημα τόδε· τίνος ἕνεκα τοῦ Ἀπόλλωνος, οὐχὶ δὲ ἄλλου τινὸς θεοῦ οὕτως ἱερὸς ἐνομίζετο; Ἡ πρὸς τὸ ἐρώτημα τοῦτο ἀπόκρισις εὕρηται ἤδη ἐκ πολλοῦ παρὰ τῷ *Roscher* (ἐν Philologus Ξ' (1901) 367 ἑξ. καὶ ἐν Siebenzahl σελ. 8-9). Οὗτος γὰρ τὸν νοῦν προσέσχε τῷ μὴ μόνον τὴν ἑβδόμην ἡμέραν ἱερὰν τοῦ Ἀπόλλωνος εἶναι. ἀλλὰ καὶ τὴν *νουμηνίαν* (Ἡροδ. 6. 57), καὶ τὴν *διχομηνίαν* (ἴδ. ἀνωτ.) καὶ τὴν *εἰκάδα* καὶ τὴν *τριακάδα*, δῆλα δὴ πάσας τὰς ἡμέρας αἷς τις φύσει τὸν *σεληνιακὸν* μῆνα διαιρεῖν εἴωθε[2]. Δῆλον οὖν ἐκ τούτων ὅτι ὁ τῆς Σελήνης

[1] Πρβλ. *Π. Βιζουκίδου*, περὶ τῶν Δηλίων, ἐν Λιψίᾳ 1921 σελ. 10-14.

[2] Ὅτι καὶ ἡ σελήνη ἐξ ἴσου θεῷ ἐτιμᾶτο διδάσκει ἡμᾶς ὁ *Usener* ἐν Götternamen, ἐν Βόννῃ 1896, σελ. 288. πρβλ. καὶ *Πλάτ.* Κρατύλ. 397 «φαίνονταί μοι οἱ πρῶτοι τῶν ἀνθρώπων τῶν περὶ τὴν Ἑλλάδα τούτους μόνους τοὺς θεοὺς ἡγεῖσθαι, ὥσπερ νῦν πολλοὶ τῶν βαρβάρων, ἥλιον καὶ *σελήνην* καὶ γῆν καὶ ἄστρα καὶ οὐρανόν». Περὶ τῶν ξένων τούτων διδαγμάτων ἴδε καὶ *Albr. Dieterich*, Die Religion des Mithras ἐν Kleine Schriften, ἐν Λιψίᾳ 1911, σελ. 265.

Φοίβης) ἀδελφὸς Ἀπόλλων (Φοῖβος, ἥλιος) παλαίτατα ὁ κατ' ἐξοχὴν θεὸς τοῦ ἡλιακοῦ ἔτους καὶ τῶν φυσικῶν αὐτοῦ διαιρέσεων ἐνομίζετο. Καὶ ὅρα ὅτι ὁ ἀριθμὸς ἑπτὰ οὐ μόνον τοῦ Ἀπόλλωνος ἀλλὰ καὶ τοῦ *Ἡλίου* ἦν ἱερός [1]. Καὶ παλαίτατα τοῦτο νομισθὲν καὶ ἴσχυσαν, μέγα μέχρι τῶν ἐσχάτων χρόνων ἐν πολλοῖς ἠδύνατο παρ' Ἕλλησί τε καὶ ἑλληνίζουσι. Παραδείγματι χρῶμαι ἐνὶ ἐκ τοῦ *Φίλωνος* περὶ τῆς κατὰ Μωυσ. κοσμοπ. 116 Cohn. (28 M.) τοῦ θεοπρεποῦς τῆς ἑβδόμης ἐν ἀναφορᾷ πρὸς τὸν ἥλιον «ὅ τε **μέγας** ἡγεμὼν ἡμέρας *ἥλιος*», σημειοῦται ὁ Ἰουδαῖος φιλόσοφος «διττὰς καθ' ἕκαστον ἐνιαυτὸν ἀποτελῶν ἰσημερίας, ἔαρι καὶ μετοπώρω, τὴν μὲν ἐαρινὴν ἐν κριῷ, τὴν δὲ μετοπωρινὴν ἐν ζυγῷ, ἐναργεστάτην παρέχεται πίστιν τοῦ περὶ τὴν ἑβδόμην ***θεοπρεποῦς***· ἑκατέρα γὰρ τῶν ἰσημεριῶν ἑβδόμῳ γίνεται μηνί, καθ' ἃς καὶ ἑορτάζειν διείρηται τῷ νόμῳ τὰς μεγίστας καὶ δημοτελεστάτας ἑορτάς, ἐπειδήπερ ἀμφοτέραις τὰ ὅσα ἐκ γῆς τελειογονεῖται, ἔαρι μὲν ὁ τοῦ σίτου καρπὸς καὶ τῶν ἄλλων ὅσα σπαρτά, μετοπώρῳ δὲ ὁ τῆς ἀμπέλου καὶ τῶν ἄλλων πλείστων ἀκροδρύων». Εὑρίσκομεν τοίνυν ἐν Ῥόδῳ τοὺς ἑπτὰ υἱοὺς τοῦ Ἡλίου *Ἡλιάδας* καλουμένους (*Πίνδ.* Ὀλ. Ζ' 131, Διοδ. Σικελ. Ε' 56. Στράβ. ΙΔ' 654), καὶ τὰς ἑπτὰ θυγατέρας, τὰς *Ἡλιάδας* (*Ὑγιν.* Ἀπ. 154). Ὁ Ἥλιος πρὸς τούτοις εἶχε καθ' *Ὅμηρον* (μ, 129) ἐν τῇ νήσῳ Θρινακίῃ «***ἑπτὰ βοῶν ἀγέλας***, τόσα δ' οἰῶν πώεα καλά»· ἐν τοῖς μετὰ ταῦτα δὲ χρόνοις ἀπεδόθη αὐτῷ καὶ τὸ ἐπίθετον *ἑπτάκτις*, ὡς καὶ ἐν τῇ τέχνῃ ἔστιν ὅτε παρίσταται. Ὁ δὲ *Πορφύριος* ἐν Εἰσαγ. σελ. 187 λέγει ὅτι καὶ ἕκαστος τῶν ἀστέρων ἑπτὰ ἀκτῖνας ἀφίησι, «τρεῖς μὲν εἰς τὸ ἄνω, τρεῖς δὲ εἰς τὸ κάτω, μίαν δ' ἐπὶ τὸ διάμετρον, ὧν δεξιαὶ μὲν αἱ ἐπὶ τὰ ἄνω, εὐώνυμοι δὲ αἱ ἐπὶ τὰ κάτω». Ταύτην δ' ἴσως τὴν θεωρίαν ἀνευρίσκομεν καὶ ἐν τῷ μνημονευθέντι ἐπιθέτῳ τοῦ Σεράπιδος ἢ Ἡλίου ὃς ἦν ὁ ἀναγωγεὺς καὶ ὁ ἑπτάκτις κατὰ τοὺς θεολόγους» (*Πρόκλ.* εις Πλάτ. Τίμ. 17, c: τόμ. Α' σελ. 34 Diehl) [2].

---

[1]) Κλυμένη δεινοπαθοῦσα προσφυῶς λέγει παρ' ***Εὐριπ.*** Ἀποσπ. 781, 12 «ὦ καλλιφεγγὲς *Ἥλι'*, ὥς μ' ***ἀπώλεσας*** καὶ τόνδ'· ***Ἀπόλλων*** δ' ἐν βροτοῖς ὀρθῶς καλεῖ»

[2]) Πρβλ. καὶ τὸ παρ' Ἰουλιανῷ Αὐτοκράτ. Λόγ. Ε' 172 D λεγόμενον ὅτι καὶ δὲ τῆς ἀρρήτου μυσταγωγίας ἀψαίμην ἣν ὁ Χαλδαῖος περὶ τὸν **ἑπτάκτινα**

Ἡ ἐν Ἑλλάδι ἀκριβὴς γνῶσις καὶ ἡ λατρεία τῶν ὑπὸ τῶν Ἀσσυρίων τὸ πρῶτον ἀνακαλυφθέντων ἑπτὰ πλανητῶν, ἐν οἷς ὁ ἥλιος τὴν ἀνωτάτην εἶχε τάξιν, φαίνεται νεωτέρων σχετικῶς χρόνων οὖσα εἰ καὶ τὸ πολυθρύλητον χωρίον τοῦ *Παυσανίου* (Λακ. 20,9 «*κίονες* δὲ *ἑπτὰ* [οἳ] τοῦ μνήματος τούτου (Ἵππου μνῆμα) διέχουσιν οὐ πολὺ οὓς κατὰ τρόπον οἶμαι τὸν ἀρχαῖον ἀστέρων τῶν πλανητῶν φασὶν ἀγάλματα», παρέχει ἡμῖν ἀπόδειξιν (καίπερ οὐδαμόθεν ἄλλοθεν πιστουμένην, πρβλ. *Roscher*, Siebenzahl 52) παλαιᾶς λατρείας τῶν πλανητῶν ἐν Σπάρτῃ[1]. Γνωσθέντων δὲ μετὰ ταῦτα ἀκριβέστερον ἐκ ξένων, ἀσσυριακῶν, ὡς εἴρηται, καὶ βαβυλωνιακῶν, διδασκαλιῶν τῶν *ἑπτὰ* πλανητῶν Ἡλίου, Σελήνης, Ἑρμοῦ, Ἀφροδίτης, Ἄρεως, Διὸς καὶ Κρόνου καὶ τῶν κατ' αὐτοὺς[2] ἐπερρώσθη, ὡς εἰκός, ἡ ἐν Ἑλ-

θεὸν (τ. ἐ. τὸν Ἥλιον ἢ Σάραπιν, πρβλ. Roscher, Μυθολ. Λεξικ. τόμ. Α' στήλ. 2003) ἐδάκχευσεν ἀνάγων δι' αὐτοῦ τὰς ψυχάς, ἄγνωστα ἐρῶ καὶ μάλα γε ἄγνωστα τῷ συρφετῷ, θεουργοῖς δὲ τοῖς μακαρίοις γνώριμα».

¹) Ἤδη ὁ Wide (de sacris Treziniorum, ἐν Οὐψάλῃ 1888 σελ. 47) τὴν ἀναφορὰν τοῦ μνημείου τούτου τοῦ Ἵππου πρὸς τὴν λατρείαν τοῦ Ποσειδῶνος ἢ τοῦ *Ἡλίου* ὑπέδειξε. Περὶ δὲ τῶν κιόνων οὐ δύναταί τις σαφῶς εἰπεῖν εἰ οὗτοι πρὸς τὸ μνῆμα ἀνεφέροντο ἢ μή. Ὁ Siebelis (ἰδ. Hitzig καὶ Bluemner ἐν τῇ ἐκδόσει τοῦ Παυσαν.) ὑπολαμβάνει αὐτοὺς εἰκόνας τῶν πλανητῶν ἀνηκούσας εἰς τὴν λατρείαν τοῦ **ἡλίου** (ᾧ ὁ Τυνδάρεως τὸν ἵππον θύει). Ὁ *Movers*, Phönizier I, 528 ἀνάγει αὐτοὺς εἰς Φοινικικὴν ἐπίδρασιν, τούτῳ δ' ἕπονται ὅ τε *Brandis* (Hermes, B' 271) καὶ ὁ *Trieber* (Forschungen 123), ἀπιθάνως κατ' ἐμὲ κρίσιν. Παρατηρητέον δ' ἐν τέλει ὅτι τὸ χωρίον τοῦ Παυσανίου οὐ πάνυ ὑγιῶς ἡμῖν παραδέδοται, καὶ ἄλλοι ἄλλαις ἰατρείαις αὐτὸ θεραπεῦσαι πειρῶνται. Εὐστοχωτάτη πασῶν φαίνεται ἡ τοῦ ἀοιδίμου Κοραῆ, ὃς (κατὰ τὴν ἔκδ. τῶν Hitzig καὶ Bluemner «οἳ aut οὓς delendum censet». Εἰς λατρείαν τῶν πλανητῶν ἀνάγεται ὑπό τινων καὶ τὸ χωρίον τοῦ Μενάνδρου (4, 233 Meineke) «ὁ μὲν Ἐπίχαρμος τοὺς θεοὺς εἶναι λέγει ἀνέμους, ὕδωρ, γῆν, ἥλιον, πῦρ, ἀστέρας» πρβλ. *Zeller*, Philos.der.Gr.A⁸, 368,2. 430 ἑξ. 5 *Roscher*, ἐν Μυθ. Λεξ. Γ' 2525, ἐν ἄρθρῳ Planeten. Περὶ εἰκονικῶν τῶν πλανητῶν παραστάσεων πρβλ. *Müller*, Archaeolog. § 400,5.

²) Ὅτι οἱ πλανῆται ἦσαν **ἑπτὰ** τὸν ἀριθμὸν ἐδιδάχθησαν οἱ Ἕλληνες, ἀληθῶς εἰπεῖν, τότε μόνον ὅτε τοῖς ἀνατολικοῖς λαοῖς Βαβυλωνίοις καὶ Ἀσσυρίοις ἐπεκοινώνησαν. Ὁ *Πλάτων* Τιμ. 38 b ποιεῖται μνείαν τοῦ πλανήτου «ὃς ἱερὸς *Ἑρμοῦ* λέγεται» πρβλ. καὶ Ἐπινομ. 987, b ἑξ., παρὰ δὲ τῷ *Ἀριστοτέλει* Μεταφ. Λ. 8 (1073, β, 8 ἑξ.) εὑρίσκομεν καὶ τῶν πλείστων πλανητῶν τὰ ὀνόματα. Ἀλλὰ καὶ ἐν τοῖς μετὰ ταῦτα χρόνοις **πέντε** μόνον πολλάκις ἠριθμοῦντο πλανῆται (πρβλ. Σερβ. εἰς Οὐεργιλ. Αἰν. VI, 714), οἵτινες καὶ ἀπαίσιοι ἐνομίζοντο, τῶν δυο ἄλλων, τῶν

λάδι τῷ ἀριθμῷ ἤδη ἐκ παλαιτάτου (καὶ τοῦ Ὁμήρου πολὺ παλαιότερον) προσυπάρχουσα ἱερὰ σημασία (πρβλ. ἀνωτέρω) καὶ ἡγιάσθη ἔτι μᾶλλον ἡ χρῆσις αὐτοῦ, ὁρμωμένου νῦν ἄλλως τε καὶ ἀπὸ λατρείας περὶ ἧς ἀναφωνῆσαι ἀναγκάζεται ὁ *Εὐστάθιος* (εἰς Ἰλιάδ. Α 46: 40, 19) ὡς «τὸ τῆς ἀποτελεσματικῆς (πρβλ. 900, 34) σοφίας περίεργον οὐδὲν ἀφῆκε τῶν περὶ γῆν ὃ μὴ τέθεικεν ὑπὸ τῇ τῶν πλανήτων ἐπικρατείᾳ»[1]. Ὑπὲρ πάντας

μεγάλων φωστήρων Ἡλίου καὶ Σελήνης οὐ μόνον ἀγαθὰ τοῖς ἀνθρώποις παρεχομένων, ἀλλὰ καὶ διὰ τὸ φαινόμενον μέγεθος αὐτῶν ἰδίαν οὕτως εἰπεῖν τάξιν οὐρανίων σωμάτων ἀποτελούντων. Καὶ ὁ Πτολεμαῖος ἐν τῷ «περὶ ποιότητος ψυχῆς» κεφαλαίῳ (Τετραβίβλ. Γ' 14) μόνον τοὺς πέντε κυρίους πλανήτας ἐξετάζει. Ὁ *Brandis* (ἐν Hermes Β' (1867) 259) ἀναφέρει τὴν τῶν ἑπτὰ πλανητῶν γνῶσιν παρὰ τοῖς Ἕλλησιν εἰς τοὺς χρόνους τοῦ Πυθαγόρου (ἴδ. καὶ *Roscher*, Hipp. Schrift σελ. 76. καὶ Siebenzahl σελ. 52). Καθ' ὅλου δὲ ἰστέον ὅτι αἱ ἀστρονομικαὶ τῶν Ἑλλήνων γνώσεις κατὰ τοὺς παλαιοτέρους χρόνους ἦσαν τοιαῦται ὥστε οὐδεὶς ἂν βεβαίως ἰσχυρίσαιτο εἰ οἱ Ἕλληνες ἑωσφόρον καὶ ἕσπερον τὸν αὐτὸν ἢ διάφορον ἐνόμιζον ἀστέρα εἶναι, ἵνα τούτῳ τῷ γνωστοτάτῳ παραδείγματι χρήσωμαι. Ὁ *Wilamowitz* ὑπεραπολογεῖται (Hermes ΙΗ' (1883) 417 ἑξ.) τῆς πρώτης γνώμης μετὰ θαυμασίας ἐπιδεξιότητος. Γνωστὸν δ' ὅτι οἱ μὲν ἑσπέριοι Λοκροὶ (οἱ καὶ Ὀζόλαι) ἐπὶ τῇ δημοσίᾳ σφραγῖδι τὸν ἕσπερον ἐγκεχαραγμένον εἶχον (*Στράβ.* Θ' 416) οἱ δὲ Ὀπούντιοι Λοκροὶ τὸν ἑωσφόρον (ἧῷος ἀστὴρ ἴδ. *Head-Σβορώνου*, Νομισμ. Α' σελ. 422) πρβλ. καὶ *Rehm* ἐν Hesperos παρὰ PW. τόμ. 8ῳ στήλ. 1250-5 καὶ Erwin *Pfeiffer*, Studien zum antiken Sternglauben σελ. 18 (Gestirnkult in Locris). Πρβλ. καὶ τὸ πλανητικὸν σύστημα τοῦ Ἀναξιμάνδρου (παρὰ *H. Diels*, Über Anaximanders Kosmos ἐν Archiv für Geschichte d. Philosophie Γ' (1897) σ. 228-237) καὶ τὸ κοσμικὸν σύστημα τοῦ Πυθαγόρου καὶ Φιλολάου (παρὰ Diels, Vorsokratiker τόμ. Α' ἔκδ. Γ' σελ. 301-320). Καὶ ἴδια φυτὰ τῶν πλανητῶν ὑπῆρχον ὁ δὲ *Γαληνὸς* (περὶ κράσεως καὶ δυνάμ. τῶν ἁπλ. φαρμάκ. Δ' 1) μνημονεύει τοῦ συγγράμματος τοῦ Ἑρμοῦ περὶ τῶν *βοτανῶν τῶν ὡροσκόπων*. Τοιαῦται πραγματεῖαι εὕρηνται καὶ ἐν ἐκείνοις τοῖς μαγικοῖς ἰατρικοῖς βιβλίοις ἃ *Κυρανίδες* καλοῦνται· ἴδ. *Dieterich*, Abraxas σελ. 157 καὶ *W. Christ-N. Γ. Πολίτου* Ἑλλ. Γραμματολ. Β' σελ. 695-6). Ἐν τῷ προλόγῳ μεταφράσεως τούτων, κατὰ τὸν μέσον αἰῶνα γενομένης φέρεται: est apud Graecos quidam liber Alexandri magni de VII herbis VII planetarum. Τὸν tractatum de septem herbis septem planetis attributis ἐδημοσίευσεν ὁ *Κ. Σάθας*, Monuments de l'histoire grecque τόμ. VII σελ. LXIII ἑξ. (πρβλ. καὶ *Haupt* ἐν Philologus ΜΗ' (1889) 371). Ἐκ τοιούτων μαγικῶν βιβλίων ἀνεπτύχθησαν αἱ περὶ μαγικῶν ἰδιοτήτων τῶν φυτῶν καὶ τῶν λίθων (ἴδ. Christ-Πολίτου ἔ. ἀ.) καὶ τῶν ζῴων γνῶμαι.

[1]) Οὕτω κατ' ἐμὴν γνώμην νοητέον τὸ χωρίον τοῦτο τοῦ Εὐσταθίου. Ἐν τοῖς «Κυπριακοῖς» τοῦ *Α. Σακελλαρίου* (τόμ. Β' ἐν Ἀθ. 1891 σελ. 43 ἴδ. καὶ

δ', ὡς εἰκός, οἱ Πυθαγόρειοι συνεβάλοντο εἰς τὴν διάδοσιν καὶ ἐπίρρωσιν τοῦ ἱεροῦ τοῦ ἀριθμοῦ, αὐτὸν παρθένον ἀμήτορα ἡγεμόνα καὶ ἄρχοντα ἁπάντων, θεόν, ἕνα, ἀεὶ ὄντα, μόνιμον, ἀκίνητον αὐτὸν ἑαυτῷ ὅμοιον, καὶ ἕτερον τῶν ἄλλων καλοῦντες (Φιλόλαος παρὰ *Φίλων*. κοσμοπ. 100)[1]. Ἀκριβολογηθέντων δὲ διὰ τῶν στρατειῶν Ἀλεξάνδρου τοῦ Μεγάλου ἔν τε τῇ Ἑλλάδι καὶ πέρα αὐτῆς τῶν τῆς παλαιοτάτης ταύτης μετεωρολογίας τῶν κατὰ τὴν Ἀσίαν λαῶν, ὅτε καὶ Βαβυλώνιος ἀνὴρ ἀξιόπιστος, ὁ τοῦ Βήλου ἱερεὺς Βηρωσός, Ἑλληνιστὶ κατέγραφε τὴν τῶν Χαλδαίων ἱστορίαν καὶ σοφίαν (πρβλ. FIG II, 511 a) ἐφέροντο τὰ πρὸς δυσμὰς πρὸς τὴν Ἀσίαν ἔθνη ἀπλήστως πρὸς τὴν μάθησιν καὶ ἐπιστήμην τούτων, καὶ δεισιδαίμονες ἤδη ὄντες δεισιδαιμόνως περιεκόσμουν (ὡς λέγει ὁ *A. Dieterich*, Abraxas 44) τὰς διερρωγυίας στοὰς τῶν περὶ αὐτὰ καταρρεόντων θρησκευμάτων αὐτῶν. Σὺν τοῖς ἐξ ἀνατολῶν θεοῖς, πλημμυροῦσι τὴν ἑλληνιστικὴν μάλιστα Ἑλλάδα Ἀστρολογία καὶ μαγεία καίπερ τῇ πλημμύρᾳ ταύτῃ ἰσχυρῶς ἀντιτασσομένην. Οὕτω ἐπὶ παραδείγματος παρὰ πᾶσαν τὴν ἐπὶ τὰ ἀστρονομικὰ τῶν Ἑλλήνων ἐπίδρασιν τῆς Βαβυλῶνος, ξένη τῶν ἀρχαιοτέρων Ἑλλήνων ἐστὶ ἡ πίστις ὅτι ἡ τοῦ γεννωμένου ἀνθρώπου τύχη ὁρίζεται ἐκ τῆς κατὰ τὴν ὥραν τῆς γεννήσεως θέσεως τῶν πλανητῶν πρὸς τὰ ζῴδια τοῦ ζωδιακοῦ κύκλου[2]. Οἱ ἀστέρες μέγιστοι θεοὶ καὶ δαίμονες ἐνομίσθησαν καὶ τὰ

σελ. 547) εὑρίσκω τόδε τὸ δίστιχον «ἔφτὰ πλανῆτες τοὐρανοῦ τὴν ἀπω πλανᾶτε | νἄρχεται μέσ' 'ς τἀγκάλια μου τὴν νύχτα νὰ κοιμᾶται». Ὁ ἐκδότης «ἔφτα πλανῆτες» λέγει τὸν ἀστερισμὸν τῆς Ἄρκτου, ταύτην δὲ τὴν γνώμην ἀπεδέξατο καὶ ὁ Ν. Γ. Πολίτης (Παραδ. Β' 816). Νομίζω τὸ δίστιχον ἀπήχησίν τινα τῆς λατρείας τῶν ἑπτὰ πλανητῶν. Οὐδαμόθεν ἄλλοθεν γιγνώσκω ὄνομα τῆς Ἄρκτου «ἐφτὰ *πλανῆτες*». Ὁ *Σίττλ* εἰς Ἡσιοδ. Θεογον. στιχ. 382 (σελ. 124) ποιεῖται μνείαν καὶ παρομοίου ὀνομασίας «*τὰ ἐφτὰ ἀδέρφια*» ἄγνωστον καὶ ἐμοί. Παραπλησίας ὀνομασίας τοῦ ἀστερισμοῦ παρὰ τοῖς διαφόροις λαοῖς βλ. παρὰ *Πολίτῃ* ἔ. ἀν. καὶ Γουλιέλμῳ *Gundel*, de stellarum appellatione σελ. 73 σημ. 2.

[1]) Ἀριδήλως δὲ Πυθαγόρειόν ἐστι τὸ δόγμα ὅτι «ἑπτὰς ἀπὸ τοῦ σέβω οἱονεὶ σεπτάς τις οὖσα, ὡς θεία καὶ ἀμήτωρ καὶ παρθένος» (Μεγ. Ἐτυμ. 368,6). Καὶ ἐν τῷ Γουδιανῷ ἐτυμολ. 197,8 Sturz φέρεται «ἑπτὰς οἱονεὶ σεπτάς, παρὰ τὸ σεβάσμιον καὶ τίμιον ὁ γὰρ ἑπτὰ ἀριθμὸς τίμιός ἐστιν, ὅθεν καὶ ἑπτὰ ἡμέραι τῆς ἑβδομάδος καὶ ἑπτὰ οὐρανοὶ καὶ ἑπτὰ πλανῆται».

[2]) Πρβλ. *W. Kroll* ἐν Neue Jahrb. VII, 559 ἑξ. καὶ *Fr. Boll*, ἐν τῷ αὐτῷ περιοδ. συγγραμμ. XXI, 103 καὶ *Cumont*, Religions orientales[2] σελ.

κοσμολογικὰ συτήματα τῶν μετὰ τὸν Ἀλέξανδρον τὸν Μέγαν χρόνων περιδεῶς ἐφέροντο καὶ εἶχον πρὸς τοὺς ἑπτὰ τοῦ σύμπαντος δυνάστας. Ἀξιομνημόνευτος δ' ἐνταῦθά ἐστι ὁ τοῦ Ἑρμοῦ ὕμνος (παρὰ *Στοβ.* Ἐκλ. Α' 5, σελ. 45 **Meineke**) πρὸς τοὺς *ἑπτὰ* πολυπλανεῖς *ἀστέρας*, οἷς καὶ τὰ τῶν θνητῶν πάθη κατ' ἐπίνοιαν τοῦ ὀνόματος ἀναγράφονται.

Ἑπτὰ πολυπλανέες κατ' Ὀλύμπιον ἀστέρες οὐδὸν
εἱλεῦνται, μετὰ τοῖσι δ' ἀεὶ ἐπινίσσεται αἰών·
νυκτιφανὴς Μήνη, στυγνὸς Κρόνος, Ἥλιος ἡδὺς
παστοφόρος Παφίη, θρασὺς Ἄρης, εὔπτερος Ἑρμῆς,
καὶ Ζεὺς ἀρχιγένεθλος, ἀφ' οὗ ἡ φύσις ἐβλάστησεν.
οἱ δ' αὐτοὶ μερόπων ἔλαχον γένος, ἔστι δ' ἐν ἡμῖν
Μήνη, Ζεὺς Ἄρης Παφίη Κρόνος Ἥλιος Ἑρμῆς·
τούνεκ' ἀπ' αἰθερίου μεμερίσμεθα πνεύματος ἕλκειν
δάκρυ γέλωτα χόλον γένεσιν λόγον ὕπνον ὄρεξιν
δάκρυ μέν ἐστι Κρόνος, Ζεὺς ἡ γένεσις, λόγος Ἑρμῆς,
θυμὸς Ἄρης, Μήνη δ' ἄρ' ὕπνος, Κυθέρεια δ' ὄρεξις,
Ἠέλιός τε γέλως· τούτῳ γὰρ ἅπασα δικαίως
καὶ θνητὴ διάνοια γελᾷ καὶ Κόσμος ἀπείρων.

Καὶ Ἀλέξανδρος δ' Ἀφροδισιεὺς ὁ περιπατητικός, σημειοῦται (Προβλημ. Β' 47 Phys. et Med. graec. ἐκδ. ὑπὸ Ideler Α' 66) «ὅτι δὲ τέλειος ὁ *ἑπτὰ* καὶ ὁ δέκα τῇ φύσει ἀριθμὸς δῆλον ἐκ τοῦ *διοικεῖν τὸν θεὸν τὸν περίγειον κόσμον ἑπτὰ ἄστροις*. Ἰδὲ καὶ *Μακροβ.* εἰς Somn. Scip. I. 6. Καὶ ἐν τῇ Μουσικῇ δὲ παρὰ τοῖς Πυθαγορείοις ἱερὸς ἦν ὁ ἑπτὰ ὡς ταύτης ἐξ ἑπτὰ τόνων συντεταγμένης· ἐπὶ πολλὰς δὲ τοῦτο θεωρίας παρώρμησε περὶ τῶν ἀναφορῶν τῆς μουσι-

[illegible] καὶ *Reitzenstein* Poimandres σελ. [illegible] ἑξ. Βραδύτερον βεβαίως ἠδύνατο ἐπὶ [illegible] Αὐρηλίου ὁ Πτολεμαῖος ἐν τῇ «Τετραβίβλῳ» αὐτοῦ **τὸ δι' ἀστρονομίας προγνωστικὸν** ἐπαινεῖν καὶ διδάσκειν· ἐν τοῖς μετὰ Χριστὸν δὲ χρόνοις ἔχομεν τὴν [illegible] καὶ [illegible] γεννᾶται ἄνθρωπος [illegible] ὅσοι ἀστέρες εἰσὶν ἐν τῷ οὐρανῷ τοσοῦτο[illegible] εἰσιν ἐπὶ τῆς γῆς· καὶ ὅταν ἀποθάνῃ ἄνθρωπος καὶ ὁ ἀστὴρ [illegible] ἐκλείπει, καὶ ὅταν [illegible] ἄνθρωπος καὶ [illegible] ἀστὴρ αὐτοῦ προστίθεται, ἐπειδὴ [illegible] ἐκλεί[illegible] οὔτε τὸ ἀποθαν[illegible] (ἴδε *Migne* PG 86,1 στήλ. 453 ἑξ. καὶ τὰ κατ[illegible] ἀναγραφόμενον [illegible] Μουσ. Κοσμ. [illegible] καὶ πρβλ. *Boll* ἐν Sokrates [illegible]).

κῃ πρὸς τὴν ἐναρμόνιον τοῦ σύμπαντος διάταξιν [1].

Οἱ ἀρχαιότατοι καὶ ἐπιμελέστατοι λάτριες τοῦ ἀριθμοῦ *ἑπτὰ* ἦσαν οἱ *Βαβυλώνιοι*. Παρ' αὐτοῖς ἐνομίζετο οὗτος ὁ ἀριθμὸς θεῖος καὶ ἱερός, διὸ πλὴν τῶν *ἑπτὰ* πλανητῶν, ὧν τὰς κινήσεις ὑπελάμβανον ἀποτέλεσμα τῆς ἐν τῷ κόσμῳ ὑπαρχούσης θείας τάξεως καὶ ἁρμονίας, ἠρίθμουν οὗτοι καὶ ἑπτὰ ζεύγη ἀστέρων καὶ ἑπτὰ οὐρανίους ζώνας καὶ μέρη τοῦ παντὸς καὶ ἑπτὰ ποταμοὺς καὶ ἑπτὰ ἀνέμους καὶ ἑπτὰ μέταλλα [2] καὶ ἑπτὰ χρώματα καὶ ὅσα τοιαῦτα [3]. Τὴν τοῦ πράγματος τούτου σαφῆ αἰτίαν οὐκέτι δυνάμεθα ἐπιστημονικῶς ὁρίσαι, εἰ καὶ γιγνώσκομεν αὐτοὺς τούτους τοὺς Βαβυλωνίους τοῦτο ἐκ τῶν ἄστρων καὶ ἐκ τῶν ἑπτὰ δὴ πλανητῶν, ἑρμηνεύειν πειρωμένους [4].

---

[1]) Herm. *Abert*. Die Musikanschauung des Mittelalters und ihre Grundlagen, ἐν Χάλλῃ 1905 σελ. 184

[2]) Πρβλ. *Ἑρμίππου*, Ἀστρολ. ἐκδ. Kroll καὶ Viereck σελ. 59,4 ἑξ. «Καὶ μὴν καὶ τὰ τῶν ἑπτὰ μετάλλων εἴδη καὶ τὰς ἴσας διαφορὰς τῶν *χρωμάτων* καὶ τῶν ἰσαρίθμων *χυμῶν* τὰς ποιότητας κάλλιστ' ἂν τις ἐντεῦθεν (=ἐκ τῶν ζ' πλανητῶν) εἰδείη».

[3]) *P. Jensen*. Kosmologie der Babylonier. ἐν Στρασβούργῳ 1890. Πρβλ. καὶ *W. Foerster*, Himmelskunde und Weissagung. ἐν Βερολίνῳ 1901 σελ. 10· ἴδε καὶ *E. Schürer*. Die siebentägige Woche im Gebrauche der christl. Kirche der ersten Jahrh ἐν τῇ Zeitschrift für die neutestamentl. Wissenschaft ΣΤ' (1905) σελ. 3 ἔνθα καὶ πολλὴ βιβλιογραφία περὶ τῆς ἐκ τῶν πλανητῶν ἑβδομάδος. Περὶ τῶν κατὰ τοὺς ἀστρολόγους ἀναλογούντων χρωμάτων τῶν ζ' πλανήτων πρὸς τὰ χρώματα μετάλλων καὶ τινων ἀνθέων ἴδ. *Fr. Pradel*, Griech. Gebete σελ. 82 σημ. 3.

[4]) Ἴδ. τὴν ἀξιόλογον διατριβὴν τοῦ *Φερδ. v. Andrian-Werburg* «Die Siebenzahl im Geistesleben der Völker» ἐν ταῖς Mitteilungen der Anthropol. Gesellschaft in Wien τόμῳ ΛΑ (1901) σελ. 225-274. καὶ *Jensen* ἔ. ἀν., καὶ *Neidhardt* ἔ. ἀν. II. σελ. 17. Περὶ τῆς διαφερόντως ἱερᾶς σημασίας τοῦ ἀριθμοῦ *ἑπτὰ παρ' Ἑβραίοις*, παρ' οἷς ἡ λέξις «*ὁρκίζεσθαι, ὀμνύναι*» ἀποδίδοται διὰ λέξεων σημαινουσῶν «ἐμπίπτειν εἰς τὴν δύναμιν ἑπτὰ πραγμάτων (sich besieben») ἴδε *Neidhard*. II σ. 15 ἑξ. Καὶ ἀδυνατοῦμεν μὲν ἀκριβέστερον τοὺς χρόνους ὁρίσαι καθ' οὓς ἐκ τῶν Χαλδαίων εἰσῆλθεν καὶ εἰς τοὺς Ἑβραίους τὸ ἱερὸν τοῦ ἀριθμοῦ ἑπτά, δυνάμεθα δ' ὅμως εἰπεῖν ὅτι εἰσελθὼν ὁ ἱερὸς οὗτος ἀριθμὸς ἐπλήρωσε παντα τὰ κενα ἐν τῇ θρησκείᾳ αὐτῶν, οὐ μόνον ἐν τῇ πλανητικῇ ἐφθημέρῳ ἑβδομάδι, ἀλλα καὶ απο αὐτῆς ταύτης τῆς τοῦ κόσμου γενέσεως μεγρι τῆς ἑπταφώτου λυχνίας τοῦ Ναοῦ αὐτῶν καὶ τοῦ κόσμου τοῦ μεγάλου αὐτῶν ἱερέως. Μόνον δ' ἐν τῇ πίστει αὐτῶν πρὸς τὸν ἕνα καὶ ἀόρατον θεόν, παρέμειναν ἀκλόνητοι καὶ ἀνίκητοι ὑπὸ τῆς ξένης ἀστρολογίας. ἴδε καὶ *Troels-Lund*. Himmelsbild σελ. 77 80

Ἡ δὲ τῶν Χαλδαίων φιλοσοφία ἐπενόησε καὶ τὴν ἀνὰ χιλιάδα ἐτῶν λογιζομένην «χρονοκρατορίαν» ἑκάστου τῶν ἑπτὰ πλανήτων: «οἷον εὐθὺς ἡ πρώτη χιλιὰς ὑπὸ Κρόνου χρονοκρατουμένη τοῦ πρώτου ἀνθρώπους ἤνεγκεν πλεῖστον μὲν βιοῦντας χρόνον, ἁπλότητι δὲ καὶ ζωῇ χρωμένους ἀτέχνῳ» κττ. (ἰδ. Catalogus codicum astrologorum graecorum τόμ. Δ' (Codices Italici ἐκδ. ὑπὸ Bassi Cumont, Martini, Olivieri) ἐν Βρυξέλλαις 1903 σελ. 114-118 καὶ Η', 3 σελ. 199)[1].

Ὁ Nietzsche δέχεται οὐ μόνον ἐπίδρασιν παλαιοτάτην ἀλλὰ αὐτὸ τοῦτο ἀρχὴν τῶν Σημιτῶν ἐν Ἑλλάδι. (Nietzsche's Werke τόμ. 19 Dritte Abteilung τόμ. Γ' ἐν Λιψίᾳ, A. Kröner, 1913 σελ. 17). Μεταφέρω ἐνταῦθα ὁλόκληρον τὸ χωρίον τοῦ φιλοσόφου[2]. «Τοῦ Ἑλληνισμοῦ τῆς Ἑλλάδος προηγήσατο πάντως ἀρχὴ τῶν Σημιτῶν ἐν τῇ χώρᾳ ταύτῃ· αἱ πόλεις, τὰ οἰκοδομήματα, αἱ κατασκευαί, αἱ καταστάσεις (Einrichtungen), ὡσαύτως δὲ οἱ θεοὶ αὐτῶν, ἡ λατρεία καὶ οἱ μῦθοι μετεβιβάσθησαν ἐν μέρει εἰς τοὺς Ἕλληνας. Ἡ τῶν ἀστέρων λατρεία, ἡ λατρεία τῶν ἑπτὰ πλανητῶν (τ. ἔ. τοῦ ἡλίου καὶ τῆς σελήνης καὶ τῶν πέντε ἐν τῇ ἀρχαιότητι γνωστῶν πλανητῶν) καὶ ἡ συνδεθεῖσα πρὸς τούτους ἀστρολογία ἀνῆκε τῇ ἀρχικῇ θρησκείᾳ τῶν Σημιτῶν. Ἡ λατρεία αὕτη ἀνεπτύχθη μάλιστα πάντων ἐν Βαβυλῶνι καὶ ἐν Ἀσσυρίᾳ. Ἡ ὀνομασία τῶν ἡμερῶν τῆς ἑβδομάδος κατὰ τοὺς ἑπτὰ πλανήτας καὶ ἡ ἑφθήμερος ἑβδομὰς εἰσὶ γνησίως σημιτικά. Ἡ λατρεία αὕτη εἶναι

---

[1]) Σαφέστατα δ' ἐν τῷ ἑπομένῳ χωρίῳ τοῦ Φίλωνος μαρτυρεῖται ἡ διὰ σημείων τῶν ἀστέρων πρόφανσις τῶν μελλόντων: Περὶ τῆς κατὰ Μωϋσέα κοσμοπ. § 58 (19) «γεγόνασι (τ. ἔ. οἱ ἀστέρες) δ' ὅπερ αὐτὸς (ὁ πατὴρ = ὁ θεὸς) εἶπεν οὐ μόνον ἵνα φῶς ἐκπέμπωσιν ἐπὶ γῆν, ἀλλὰ καὶ ὅπως σημεῖα μελλόντων προφαίνωσιν. ἢ γὰρ ἀνατολαῖς αὐτῶν ἢ δύσεσιν ἢ ἐκλείψεσιν ἢ πάλιν ἐπιτολαῖς ἢ ἀποκρύψεσιν ἢ ταῖς ἄλλαις περὶ τὰς κινήσεις διαφοραῖς ἄνθρωποι τὰ ἀποβησόμενα στοχάζονται καρπῶν φορὰς καὶ ἀφορίας, ζῴων τε γενέσεις καὶ φθοράς, αἰθρίας καὶ νεφώσεις, νηνεμίας καὶ βίας πνευμάτων, ποταμῶν πλημμύρας καὶ κενώσεις, θαλάττης ἠρεμίαν καὶ κλύδωνα, ὡρῶν τῶν ἐτησίων ὑπαλλαγὰς ἢ θέρους χειμαίνοντος ἢ χειμῶνος φλέγοντος ἢ ἔαρος μετοπωρίζοντος ἢ μετοπώρου ἐαρίζοντος· ἤδη δὲ καὶ κλόνον καὶ σεισμὸν γῆς ἐκ τῶν κατ' οὐρανὸν κινήσεων στοχασμῷ προεσήμανάν τινες καὶ μυρία ἄλλα τῶν ἀηθεστέρων».

[2]) Ἐκ τῶν ἐκδοθέντων σημειωμάτων τῶν παραδόσεων αὐτοῦ περὶ τῆς λατρείας τῶν θεῶν τῶν Ἑλλήνων, ἃς ἐποιήσατο ἐν Βασιλείᾳ τὸν χειμῶνα τοῦ 1875-76.

ἀλλοτρία τελείως τῶν Ἑλλήνων. Τὴν περὶ τῶν ἑπτὰ πλανητῶν διδασκαλίαν φέρει πρῶτος ὁ Πυθαγόρας. Οἱ Ἕλληνες οὔτε τὴν ἐφθήμερον ἑβδομάδα ἔχουσιν οὔτε τὴν ἀναφορὰν αὐτῆς πρὸς τὸν ἥλιον καὶ τοὺς πλανήτας. Ἀλλὰ παρὰ τοῖς ἐκ Φοινίκης ἐποίκοις ἐν Ἑλλάδι ἐπικρατεῖ αὕτη. Ἐκ τούτου ὑπελήφθησαν πολλά: ὁ ἀριθμὸς ἑπτά, ὃς ἐν τῇ τοῦ *Ἀπόλλωνος λατρείᾳ* συχνότατός ἐστιν, ἡ γέννησις αὐτοῦ τῇ ἑβδόμῃ τοῦ Θαργηλιῶνος, οἱ ἑπτὰ κύκλοι οὓς ἱπτάμενοι οἱ ἱεροὶ κύκνοι ποιοῦνται περὶ τὴν νῆσον Δῆλον κατὰ τὴν γέννησιν αὐτοῦ, τὰ ἐπίθετα αὐτοῦ *ἑβδομαῖος*, *ἑβδομαγέτης*, αἱ ἑπτὰ ἀκτῖνες αἳ περιβάλλουσι τὴν κεφαλὴν αὐτοῦ [1], οἱ ἑπτὰ παῖδες καὶ αἱ ἑπτὰ παῖδες αἳ ὑπουργοῦσι κατὰ τὴν ἑορτὴν τοῦ Ἀπόλλωνος ἐν Σικυῶνι, ὁ αὐτὸς ἀριθμὸς παίδων τῶν κατ᾽ ἔτος ἐξ Ἀθηνῶν εἰς Κρήτην στελλομένων, οἱ ἑπτὰ Ἡλιάδαι ἐν Ῥόδῳ: οἱ Ἕλληνες ἐτίθεντο τοῖς γεννωμένοις τέκνοις αὐτῶν τὸ ὄνομα τὴν ἑβδόμην ἡμέραν, ἑπτὰ στῆλαι ἵσταντο παρὰ τῷ Ἵππου μνήματι τῆς Ἑλένης [2], πλησίον τῆς Σπάρτης, οὓς ἀστέρων τῶν πλανητῶν φασὶν ἀγάλματα. Ἐνταῦθα ἔχομεν τὰ λείψανα λατρείας ἣν οἱ Ἕλληνες οὐχ ἑαυτοῖς προσῳκειώσαντο, τούτου δ᾽ ἕνεκα ἐλάχιστα ἴχνη μαρτυροῦσι περὶ ταύτης: ἀφ᾽ ἑτέρου δ᾽ ὅμως αἱ λατρεῖαι τῶν Φοινικίων θεῶν, οἷς ἦσαν οἱ καθ᾽ ἕκαστον πλανῆται ἀφιερωμένοι, *μετεβιβάσθησαν* εἰς τοὺς Ἕλληνας: ὁ Ἥλιος=Ἀπόλλων, ἡ Σελήνη=Ἄρτεμις, ἡ Ἀστάρτη=Ἀφροδίτη, ὁ Νεβὼ ἢ Κάδμος=Ἑρμῆς, ὁ Βῆλος=Ζεύς, ὁ Μολὼχ=Κρόνος, ὁ Μελκὰρτ (Μελικέρτης)=Ἄρης, Ἡρακλῆς. Αἱ ἑπτάπυλοι Θῆβαι ἀπεδείχθησαν ὑπὸ τοῦ Brandis (Hermes Β′ 259) οὖσαι παντάπασι φοινικικῆς ἀρχῆς: καθορᾷ τις ἐνταῦθα σαφῶς τὴν μετάβασιν· παρὰ τὴν παλαιὰν φοινικικὴν πύλην τοῦ ἡλίου ἵδρυτο ὁ ναὸς τοῦ Ἰσμηνίου Ἀπόλλωνος. Πλησιαίτατα τῆς πύλης τῆς σελήνης, ὁ ναὸς τῆς Ἀρτέμιδος (*Προιτίδες πύλαι*: αἱ τρεῖς θυγατέρες τοῦ Προίτου, ἀπὸ πολλοῦ γνωσθεῖσαι ὡς παραστάσεις τῶν φάσεων τῆς σελήνης· ὁ Προῖτος ἀφιέρωσε τῇ Ἀρτέμιδι ναὸν μετὰ

[1]) *Ἑπτάκτις ἥλιος*, *Πρόκλ.* εἰς Πλατ. Τιμ. σ. 11. ε καὶ πρβλ. *Hemsterh.* εἰς Λουκ. 1,165.

[2]) Πρβλ. [illegible] τὰ κατ᾽ αὐτ[illegible]

τὴν ἴασιν αὐτῶν ἐκ τῆς μανίας: ἡ λατρεία τῆς Φοινικίας θεᾶς τῆς σελήνης ἦν ἀγρία καὶ ὀργιαστική. Ἐπὶ τῆς ἀσπίδος τοῦ Τυδέως, ὃς ἔπεσε πρὸ τῶν Προιτίδων πυλῶν, ἦν ἀπεικονισμένη ἡ καθαρὰ πανσέληνος ἐν μέσῳ ἀστερόεντος οὐρανοῦ). Ἡ προσεχὴς θύρα ἀφιέρωτο βεβαίως τῷ Μελκάρτ· ἐνταῦθα ἐθήλασεν ἡ Ἥρα τὸν Ἡρακλέα. Ἐν τῇ ἑπομένῃ πύλῃ οὐ διαφαίνονται τὰ ἴχνη λατρείας τοῦ Ἑρμοῦ. Ἀλλ' ἐν τῇ πέμπτῃ πάλιν βλέπομεν αὐτά. Ἦν αὕτη ἱερὰ τοῦ Βήλου, βραδύτερον *Διὸς τοῦ ὑψίστου*. Ὁμοίως καὶ ἐν τῇ ἕκτῃ: αὕτη ἦν ἱερὰ τῆς Ἀθηνᾶς Ὄγκης, ἣν ὁ Παυσανίας 9. 12, 2 ἰδίᾳ ὡς Φοινικικὴν θεὰν λέγει. Ἐν τῷ μύθῳ ἐστὶν αὕτη ἡ προστάτις θεὰ τοῦ Κάδμου: ἡ Ἀστάρτη ἐστί. Διότι δ' ὅμως ἡ ἀληθὴς αὐτῆς φύσις κατεφαίνετο, ὑπέλαβον αὐτὴν οἱ Ἕλληνες ὡς Ἀθηνᾶν. Τῶν παναρχαίων τριῶν ξοάνων τῆς *Ἀφροδίτης*, ἃ οἱ Θηβαῖοι ἐδείκνυον ἐπὶ τῆς αὐτῶν ἀκροπόλεως, παρίστη τὸ πρῶτον αὐτὴν τὴν θεὰν ᾗ ἡ ὀγκαίη πύλη ἀφιέρωτο. Ἡ ἑβδόμη πύλη ἦν τοῦ Μολώχ, οἱ Ἕλληνες ἔλεγον Ζεὺς Ὁμολώιος, ὅπερ ἴσως ἀπήχησις τοῦ ὀνόματός ἐστι, ὡς καὶ ἐν τῷ *Ζεὺς μειλίχιος* ὑποκρύπτεται πάλιν ὁ Μολώχ, ἐν τῇ *Ἀφροδίτῃ* ἡ Ἀστάρτη, καὶ ἐν τῷ *Ἡρακλῆς* ὁ Μελκάρτ. — Διὰ τῆς τῶν πυλῶν καθιερώσεως ἐγίγνετο ἡ πόλις ὅλη ναὸς τῶν θεῶν τῶν πλανητῶν. Ἡ εἴσοδος εἰς τοὺς σημιτικοὺς ναοὺς ἔβλεπεν ὡς ἐπὶ τὸ πλεῖστον πρὸς ἀνατολάς, ὡς καὶ ἐν τοῖς ναοῖς τῶν ἑλληνικῶν θεῶν τοῦ Ὀλύμπου. Κατὰ ταῦτα ἡ τῆς σελήνης πύλη ἐν Θήβαις ἦν ἡ κυρία πύλη καὶ εὑρίσκετο ἐν τῇ ἀνατολικῇ πλευρᾷ. Ἡ Εὐρώπη, ἡ φοινικικὴ θεὰ τῆς σελήνης, εἰσέρχεται διὰ ταύτης εἰς τὴν πόλιν. Αὕτη ἦν οὐ μόνον ἡ κυρία πύλη, ἀλλὰ καὶ ἡ πρώτη πύλη, καθιερωμένη οὖσα ἐκείνῳ τῷ πλανήτῃ ὃς κατεῖχε τὴν πρώτην ἡμέραν τῆς ἑβδομάδος. Ἡ πρώτη ἡμέρα τῆς ἑβδομάδος ἀφιέρωτο τῇ σελήνῃ, ἡ τελευταία τῷ ἡλίῳ: ἕνεκα τούτου ἡ ἑβδόμη ἡμέρα ἦν ἱερὰ τοῦ Ἀπόλλωνος: οὕτως ἠρίθμει τις τὴν ἑβδομάδα ἐν Φοινίκῃ καὶ ἐν Βαβυλῶνι καὶ ἐν τοῖς σημιτικοῖς χρόνοις τῆς Ἑλλάδος».

Εἰς τὸ σύστημα τῶν ἑπτὰ πλανητῶν [1] οὐ ἄρα ἡ λατρεία ξένη

---

[1]) *Βεκκέρου* Ἀνεκδ. 795,30 καὶ τί δή ποτε ὁ τεχνικὸς τῶν φωνηέντων τὸν ἀριθμὸν μέχρι τοῦ ἑπτὰ ὁρίζεται; Καί φαμεν ὅτι ἰσαρίθμως τῶν χορδῶν τῆς λύρας τοῦ Ἀπόλλωνος ἐποίησεν, ἢ κατὰ μίμησιν τῶν ἑπτὰ ἀστέρων τῶν πλανητῶν τοῦ

καὶ οὐχ Ἑλληνική ἐστιν. ἀναφέρονται τὰ ἐπίθετα *ἑπτάπορος* (τοῦ Ἄρεως. Ὕμν. 8. 7 πυραυγέα κύκλον ἑλίσσων αἰθέρος *ἑπταπόροις* ἐνὶ τείρεσιν)[1] *ἑπτάκυκλος* (οὐρανός. Ἐπιφ. Β' 297. c. ἰδὲ καὶ Λυδ. σελ. 25 ἑξ. ἐκδ Βόννης[2], *ἑπταπλανὴς* (Σεκούνδ. Γνωμ. 635 «τί ἐστι κόσμος; ἑπταπλανὲς κύκλωμα»). *ἑπτάπυλος* (κλῖμαξ, παρ' Ὠριγ. πρὸς Κελσ. 6, 22) *ἑπταφεγγής*, (Φίλ.) *ἑπτάζωνος* (ἰδὲ κατωτέρω)[3].

Δ'. Η ΧΡΗΣΙΣ ΚΑΙ ΚΑΤΑΧΡΗΣΙΣ ΤΟΥ ΙΕΡΟΥ ΑΡΙΘΜΟΥ ΕΠΤΑ.

Ἡγιάσθη τοίνυν, ὡς εἰπεῖν, ὁ ἀριθμὸς ἑπτά[4], καὶ ταύτης τῆς ἐκ πολλῶν, ὡς εἴρηται, αἰτίων προελθούσης ἁγιάσεως ἦν σφόδρα οἵ τε παλαιοὶ καὶ νεώτεροι Πυθαγόρειοι, οἱ τῶν ἀριθμῶν ἄριστοι διδάσκαλοι, πρoῆγον[5]. ἔχομεν σαφῆ καὶ ταῖς χερσὶν οὕτως εἰπεῖν ψηλα-

οὐρανοῦ· πλανῆται δὲ εἰσὶν ἑπτὰ Κρόνος, Ζεύς, Ἑρμῆς, Ἄρης, Ἥλιος, Ἀφροδίτη καὶ Σελήνη. Ταῦτα γὰρ τὰ φωνήεντα τοῖς πλανήταις ἀνάκεινται· καὶ τὸ μὲν ᾱ φασὶ τῇ Σελήνῃ ἀνακεῖσθαι, τὸ δὲ ε τῷ Ἑρμῇ, τὸ δὲ η τῇ Ἀφροδίτῃ, τὸ δὲ ῑ τῷ Ἡλίῳ, τὸ δὲ ο τῷ Ἄρει, τὸ δὲ ῡ τῷ Διί, τὸ δὲ ω τῷ Κρόνῳ.

[1]) Καὶ ἡ **Πλειὰς** καλεῖται *ἑπτάπορος* (**Kaibel**, Ἑλλην. Ἐπιγρ. ἐν Βερολίνῳ, 1878, σελ. 83).

[2]) Πρβλ. καὶ **Πρόκλ.** εἰς Πλάτ. Τίμ. 36, d «τὸν δὲ **τὸν ἑπτὰ κύκλων ἀριθμὸν** πῶς οὐχ οἰκεῖον εἶναι τῇ ψυχῇ φήσομεν, ἀπὸ τῆς ζωογόνου παρηγμένη θεᾶς, ἣ καὶ μονὰς ἦν καὶ δυὰς καὶ ἑπτάς, περιέχουσα πάσας ἐν ἑαυτῇ τὰς Τιτανίδας;»

[3]) Πρβλ. καὶ **Φίλωνα** περὶ τῆς κατὰ Μωυσ. κοσμοπ. 111 (27 Mang.) «Διατείνει δ' αὐτῆς (τῆς ἑβδομάδος) ἡ φύσις καὶ ἐπὶ τὴν ὁρατὴν ἅπασαν οὐσίαν, οὐρανὸν καὶ γῆν, τὰ πέρατα τοῦ παντὸς, φθάσασα. Τί γὰρ οὐ φιλέβδομον τῶν ἐν τῷ κόσμῳ μέρος ἔρωτι καὶ πόθῳ δαμασθὲν ἑβδομάδος; Αὐτίκα **τὸν οὐρανὸν** φασιν ἑπτὰ διεζῶσθαι κύκλοις ὧν ὀνόματα εἶναι τάδε· ἀρκτικόν, ἀνταρκτικὸν κλπ.» ἰδὲ Boll ἐν PW Z', 2557, καὶ ἐν Lebensalter σελ. 114 (26) σημ. 1 καὶ *E. Schürer* ἐν Z. für neutest. Wiss. ΣΤ' (1905) σελ. 30.

[4]) Πρβλ. τὸν ἁγιασμὸν τοῦ ἀριθμοῦ *τρία* παρ' ἡμῖν ἐκ τοῦ ἀριθμοῦ τῆς Ἁγίας Τριάδος· τρεῖς κλῆσιν γὰρ βαπτίζονται Τριάδος τῆς ἁγίας, κτλ. *Προδρ.* Γ' 297, καὶ τὴν χρῆσιν αὐτοῦ πολλάκις καὶ ἐπὶ συμφορῶν καὶ δυστυχιῶν: *τριαδώνει, τριάδωσε* τὸ κακὸ κτλ. Περὶ ταύτης τῆς δεσποτείας τοῦ ἀριθμοῦ πρβλ. *Usener*, Dreiheit σελ. 1.

[5]) Πρβλ. **H. Diels** ἐν Festschrift Gomperz σελ. 10 σημ. 5

φώμενα μαρτύρια παρὰ πολλοῖς συγγραφεῦσιν, οἷον παρ' *Ἀπολλωνίῳ τῷ Ῥοδίῳ* Γ', 860 ἑξ. *ἑπτὰ μὲν ἀενάοισι λοεσσαμένη ὑδάτεσσιν* | *ἑπτάκι* δὲ Βριμὼ κουροτρόφον ἀγκαλέσασα | Βριμὼ νυκτιπόλον, χθονίην, ἐνέροισιν ἄνασσαν», παρὰ *Λουκιανῷ*. Φιλοψ. 12 «εἰς τὸν ἀγρὸν γὰρ ἐλθὼν ἕωθεν ἐπειπὼν ἱερατικά τινα ἐκ βίβλου παλαιᾶς ὀνόματα *ἑπτά*, θείῳ καὶ δᾳδὶ καθαγνίσας τὸν τόπον περιελθὼν ἐς τρίς, ἐξήλασεν ὅσα ἦν ἑρπετὰ ἐντὸς τῶν ὅρων» καὶ ἄλλοις. Ὁ Κλάριος Ἀπόλλων ἐπιτάσσει, ὡς διδασκόμεθα ἐξ ἐπιγραφῆς, τοῖς νόσοις καὶ πόνοις τρυχωμένοις («λοιμῷ δυσεξαλύκτῳ») κατοίκοις τῆς πόλεως Τροκέττας τῆς Μικρᾶς Ἀσίας «[ὑπ]αὶ νιφόεντι Τυμώλῳ» : «ἀπὸ *Ναιράδων ἑπτὰ* [μ]ατεύειν καθαρὸν ποτὸν ἐντύνεσθαι, ᾧ θειῶσαι πρόσσ(ω)θεν ἐχρῆν καὶ ἐπε[σ]συμένους ἀφύσασθαι (*K. Buresch*. *Klaros*. Untersuchungen zum Orakelwesen des späteren Altertums. ἐν Λειψίᾳ 1889, σελ. 11. στ. 3) καὶ ἐξ ἄλλου χρησμοῦ γιγνώσκομεν τὸ

ἑπτὰ γεραιρόντων εἰς ἤματα μῆρ' ἐπὶ βωμῶν
Παλλάδι μὲν μόσχου διετήρονος ἄζυγος ἁγνοῦ
δαίοντες. τριένου δὲ βοὸς Διὶ καὶ Διὶ Βάκχῳ»

(*Kaibel*. Ἑλλ. Ἐπιγρ. 1035 στ. 20). Ὁ Ὀρέστης ἐκκομίζων τὸ ξόανον τῆς Ἀρτέμιδος ἐκ Ταύρων τῆς Σκυθίας ἐπιτάσσεται Δελφικῷ χρησμῷ «ἐν *ἑπτὰ ποταμοῖς* ἐκ μιᾶς πηγῆς ῥέουσιν ἀπολούσασθαι· ὁ δέ, πορευθεὶς εἰς Ῥήγιον τῆς Ἰταλίας, τὸ ἄγος ἀπενίψατο ἐν τοῖς λεγομένοις διαχώροις ποταμοῖς»[1]. Οἱ δὲ φονεῖς ἵνα καθαρθῶσι τοῦ φόνου ἀνάγκη ἑαυτοὺς λούσασθαι «ἀπὸ δὶς ἑπτὰ κυμάτων» ἢ τὰ ἑαυτῶν ἱμάτια δὶς ἑπτὰ κύμασι πλύνειν (πρβλ. Σουΐδαν: *ἀπὸ δὶς ἑπτά*, καὶ *A. Schott*. Adagia graecorum ἐν Ἀμβέρσῃ, 1629. σελ. 366)[2]. Ἐν ἐπιγράμματι τοῦ

[1] Βλ. Prolegomena de poesi bucolica et de Theocrito, ed. *Dübner* (Paris 1878, Didot σελ. 1).

[2] Οὐ μόνον δὲ τὸ *ἑπτά*, ἀλλὰ καὶ τὸ διπλάσιον τούτου **δὶς** *ἑπτὰ* πολλαχοῦ ἐφ' ἧς καὶ τὸ ἑπτὰ μαγικῆς προλήψεως εὕρηται ὡς παρὰ ***Πλάτωνι*** Ἀλκ. 121 e (ἴδε κατωτέρω) ἴδ. καὶ ***Roscher***, Siebenzahl σελ. 15 σημ. 40. Καὶ κατὰ τὸν Σουΐδαν δὲ ἐπὶ τῶν κολάσεως ἀξίων ἐλέγετο ὁ παροιμιώδης στίχος «δὶς ἑπτὰ πληγαῖς πο[ι]ο λύπους πιλούμενος» παρόσον ὁ πολύπους θηρευθεὶς τύπτεται πολλάκις πρὸς τὸ πῖον γενέσθαι. (Paroem Gr. ἐκδ. *Leutsch-Schneidewin* I, 64

βασιλέως Πολέμωνος εἰς δακτύλιον (Παλατ. Ἀνθολ. Θ' 746) φέρεται ὅτι «ἑπτὰ βοῶν σφραγῖδα βραχὺς λίθος εἶχεν ἴασπις»[1].

Ἀλλὰ πολλὴ τοῦ ἀριθμοῦ τούτου χρῆσις καὶ κατάχρησις ἐγένετο ἐν τοῖς μετὰ τὸν Ἀλέξανδρον τὸν Μέγαν χρόνοις, εἰσελθούσης ἤδη καὶ εὐχρήστου γενομένης τῆς πλανητικῆς ἑβδομάδος τῶν ἀστρολόγων, καθ' οὓς χρόνους αἱ καθαιρεθεῖσαι τῶν ἀπεράντων τοῦ δορικτήτορος κτήσεων θρησκεῖαι συνεχύθησαν πολλαχοῦ καὶ ἀνεχωνεύθησαν, οὐδὲν δὲ στερεὸν ἔρεισμα τὰ νέα κατασκευάσματα εὑρίσκοντα, ἐξέκλιναν εἰς ἀχαλίνωτα καὶ ἄλογα καὶ ἀπίθανα φαντάσματα, καὶ τῶν λεγομένων Ὀρφικῶν χείρω, ἀνάπλεα ὄντα δεισιδαιμονιῶν καὶ προλήψεων καὶ θειασμῶν, ἃ τῷ λαῷ μετεδίδοντο ὡς γνῶσις (ἴδ. *A. Dieterich*, Abraxas σελ. 2 ἑξ.). Ἥ τε θρησκεία καὶ ἡ μαγεία εἰσὶν ἐκδηλώσεις καὶ μορφαὶ ἀντιδράσεως τῆς ὁρμῆς τῆς ζωῆς κατὰ τῆς συναισθήσεως τοῦ ἐνδεοῦς, τῆς «ἀνεπαρκείας» τῆς ἀνθρωπίνης δυνάμεως[2]. Αἱ περισωθεῖσαι ἡμῖν μαγικαὶ πράξεις τῶν ἀρχαίων Ἑλλήνων εἰσὶν ἁπλαῖ καὶ ἀρχέγονοι. Μόνον δ' ἐν τῇ καλουμένῃ Ἑλληνιστικῇ περιόδῳ, ὅτε οἱ Ἕλληνες ἔμαθον τὰ τῶν

καὶ Η. 369). Πρβλ. καὶ τὸ ἐν τῇ Παλατ. Ἀνθολ. Ζ' 567 ἐπίγραμμα Ἀγαθίου τοῦ Σχολαστικοῦ «ἑπτά με δὶς λυκάβαντας ἔχουσαν ἀφήρπασε δαίμων ἣν μούνην Διδύμῳ πατρὶ θάλεια τέκεν». Παρενείρω δ' ἐνταῦθα ἐν παρόδῳ ὅτι καὶ ὁ ἀριθμὸς *δύο καὶ ἑβδομήκοντα* (72) πολλάκις ἐπὶ πλήθους τάττεται, τὴν δὲ ἀστρολογικὴν τούτου ἑρμηνείαν πειρᾶται ὁ Riess ἐν **Astrologie** παρὰ **Pauly-Wissowa** B' 1825 19 ἑξ. ὑποδεῖξαι. Ὁ Reitzenstein ἐν **Poimandres** σελ. 265,3 300,1 καὶ 366 ἀναγράφει πλεῖστα παραδείγματα τῆς χρήσεως τούτου τοῦ μεγέθους μετὰ οὐσιαστικῶν. Καὶ ἐν τῷ θανάτῳ τοῦ Ἀβραὰμ (ἴδ. **Vassiliev**, **Anecd. Graeco-byz.** 307, 15 ἑξ.) φέρεται «ἀμήν, λέγωσοι ἐν ἀληθείᾳ τοῦ θεοῦ ὅτι ἑβδομήκοντα δύο θάνατοί εἰσιν». Περὶ τῶν νέων ἑλληνικῶν «Μὰ τὰ ἑβδουμῆντα δύο νερὰ τ' Βαρδουσιοῦ» καὶ «φύγε ἀπὸ τὰς οβ' φλέβας τοῦ παιδιοῦ» ἴδ. *Πολίτου*, Μελέται Ι ἀριθμ. 475 καὶ *K. Wachsmuth*, **Das alte Griechenland**, ἐν Βόννῃ 1864, σελ. 60 καὶ ***Abbott***, **Macedonian Folklore**, ἐν Κανταβριγίᾳ 1903, σελ. 239,2.

[1] Καὶ ὁ Ὅμηρος Ἡσιόδῳ ἐρωτήσαντι, πόσον τὸ τῶν Ἑλλήνων πλῆθος τὸ κατὰ τῆς Ἰλίου στρατεῦσαν ἀποκρίνεται (Παλατ. Ἀνθολ. Θ 147) ὅτι «ἑπτὰ ἔσαν μαλεροῦ πυρὸς ἐσχάραι· ἐν δὲ ἑκάστῃ | πεντήκοντ' ὀβελοί, περὶ δὲ κρέα πεντήκοντα | τρὶς δὲ τριακόσιοι περὶ ἓν κρέας ἦσαν Ἀχαιοί». Καὶ ὁ Ἀμμιανὸς (Παλατ. Ἀνθολ. ΙΑ' 146) «ἑπτὰ σολοικισμοὺς Φλάκκῳ τῷ ῥήτορι δῶρον | πέμψας ἀνέλαβον πεντάκι διακοσίους».

[2] Ἴδ. ***Beth***, **Religion und Magie** σελ. 80-123 καὶ 222 ἑξ.

μαγειῶν τῶν ἀνατολικῶν λαῶν, ἄρχονται πολυπλοκώτεραι γιγνόμεναι καὶ συνθετώτεραι αἱ τυπικαὶ πράξεις τῶν τοιούτων ὀθνείων καὶ ξένων τελετῶν, καὶ οὕτω δὴ ὥστε οὐκ ἀρκούσης πλέον τῆς προφορικῆς παραδόσεως πάντα διεξοδικῶς καταγράφονται ἐν συνταγαῖς καὶ βιβλίοις συνταγῶν [1]. Δεῖγμα τούτου ἔστω ἡμῖν καὶ ἡ *Κοσμοποιία* (Πάπυρ. τοῦ Λουγδ. Μουσείου J 395 κατὰ τὴν ἀνάγνωσιν τοῦ A. Dieterich ἔ. ἀ. σελ. 182 ἑξ.). Ἀναφέρω δύο τινὰ χωρία ἐνταῦθα ἀναφοράν τινα πρὸς τὸ *ἑπτὰ* ἔχοντα: στ. 32 «καὶ ἐγέλασεν ὁ θεὸς *ἑπτάκις* (...) γελάσαντος δὲ τοῦ θεοῦ ἐγεννήθησαν θεοὶ *ἑπτά*, οἵτινες τὸν κόσμον περιέχουσιν». καὶ στ. 80 ἐκάκχασε (sic, ὁ θεὸς) τὸ *ἕβδομον* ἀσθμησάμενος καὶ καγχάζων ἐδάκρυσε καὶ ἐγένετο ψυχή..

Ἄπειρα δ' εἰσὶν οὐ μόνον τὰ ἐκ τῆς περὶ τὸ ὄνομα Ἑρμοῦ τοῦ Τρισμεγίστου περιελιχθείσης καὶ οὕτω παραδοθείσης ἡμῖν ἀστρολογικῆς καὶ φυσιογνωμικῆς, βοτανικῆς καὶ ἰατρικῆς, ἀλχημικῆς καὶ θεοληπτικῆς γραμματείας (ἴδ. καὶ ἀποσπάσματα παρὰ Κλήμ. Ἀλεξ., Στοβαίῳ, Κυρίλλῳ κτλ.), ἡ ἀναγομένη μέχρι που τοῦ τρίτου π. Χ. αἰῶνος καὶ ὑπὸ τὴν δύναμιν τῆς Νέας Πλατωνικῆς φιλοσοφίας αὐξηθεῖσα περιφανῶς ἡμῖν δείκνυσι τὰς ἀποπλανήσεις καὶ παρακρούσεις, πρὸς δὲ καὶ τὰς ἐσχάτας ἐντάσεις τῆς ἀποθνησκούσης εἰδωλολατρείας, [2] ἀλλὰ καὶ τὰ ἐκ τῶν παπύρων νῦν ἡμῖν προκείμενα παραδείγματα τῆς ἱερᾶς καὶ δεισιδαίμονος τοῦ ἀριθμοῦ τούτου χρήσεως (ὡς καὶ ἄλλων ἀριθμῶν) ἐπὶ μαγικῶν ἐπῳδῶν καὶ μαγγανειῶν καὶ πάσης γοητείας καὶ τερατείας. Ποιοῦμαι μνείαν τινῶν τῶν χω-

[1]) Πρβλ. περὶ τούτων *R. Wünsch*, Antikes Zaubergerät aus Pergamon, ἐν Jahrb Arch. Inst. Erg. Heft. VI, 19 καὶ *Roscher*, Siebenzahl σελ. 67 καὶ 95.

[2]) Πόσον δ' ὁ ἀρχαῖος ἐκεῖνος θεὸς ἐταλαιπωρήθη ἐκπνέων κατὰ τοὺς χρόνους τῆς τῶν θεῶν ἀναμείξεως ἀποδεικνύουσι αἱ πολλαὶ καὶ ἀντίθετοι πρὸς τὸ παλαιὸν αὐτοῦ ἐπιτήδευμα ἐπικλήσεις τῶν ἐξηλλαγμένων καὶ διεφθαρμένων λάτριων αὐτοῦ· ὁ A. Dieterich σημειοῦται (Abraxas σελ. 63) χωρίον ἐκ τοῦ ἐν τῷ Βρεττανικῷ Μουσείῳ παπύρου 46 στίχ. 176 ἑξ. ἔνθα τις καὶ παρὰ τοῦ θεοῦ αἰτεῖται ἀνὰ τοῦ πιάσῃ τὸν κλέφτη» ὡς ἄν τις νῦν παρὰ τοῖς νέοις Ἕλλησι εἴποι τὸν θεὸν ὅς ποτε *ληϊστὴρ* (Ὕμν. εἰς Ἑρμ. 14) καὶ *κλέπτης* (*Kaibel*, Ἐπ. 1108,1) ἐκλήθη. Λέγεται τοίνυν κλέπτην πιάσαι | Ἑρμῆν σε καλῶ, | θεὸν ἀθάνατον, | ὃς κατ' Ὄλυμπον, | αὔλακα τέμνεις, | βᾶριν θ' ἱερήν, | φωσφόρ' Ἰάω, | αἰωνόβιος, | φρικτὸς μὲν ἰδεῖν, | φρικτὸς δ' ἀΐειν | φῶρ' ὃν ζητῶ παράδος μοι.

ρίων τούτων. Ὁ *Parthey* ἐξέδωκεν ἐν ταῖς Abh. der Berl. Akad. τόμ. 1865 σελ. 109-180. ἐν Βερολίνῳ 1866) Zwei Griech. Zauberpapyri des Berliner Museums ἔνθα εὕρηται σελ. 126. στ. 234 «ἀπόκλυσον ὕδωρ πηγαῖον ἀπὸ ζ′ (=*ἑπτὰ*) *πηγῶν* καὶ πίε αὐτὸ ἐπὶ ἡμέρας ζ′ (=*ἑπτὰ*) νήστης», καὶ σελ. 127. 264 πρβλ. καὶ στ. 270 καὶ 271 ἐν τῇ λεγομένῃ Ἀπολλωνιακῇ ἐπικλήσει «λαβὼν *κλῶνα δάφνης ἑπτάφυλλον* ἔχε ἐν τῇ δεξιᾷ χειρὶ καλῶν τοὺς οὐρανίους θεοὺς καὶ χθονίους δαίμονας γράψον εἰς τὸν κλῶνα τῆς δάφνης τοὺς ζ′ φυστικοὺς χαρακτῆρας»[1]. Ἐν σελ. 128 στ. 286 φέρεται «καὶ σπονδὴν τέλεσον ἀπὸ οἴνου καὶ μέλιτος καὶ γάλακτος καὶ ὀμβρίου ὕδατος ἐπὶ *πλακοῦντας ἑπτὰ* καὶ *πόπανα ἑπτά*». Ἐν τῷ Παρισινῷ παπύρῳ τῷ ὑπὸ τοῦ *C. Wessely* ἐκδοθέντι (ἐν Denkschrift der Wien. Akademie 36. σελ. 27-208) εὕρηται πολλαχοῦ τοῦ ἀριθμοῦ ἑπτὰ μνεία, περὶ μαγειῶν τοῦ λόγου ὄντος. Οἷον στ. 1393 «καταλιπὼν ἀπὸ τοῦ ἄρτου οὗ ἐσθίεις ὀλίγον καὶ κλάσας ποίησον εἰς *ἑπτὰ ψωμοὺς* καὶ ἐλθὼν ὅπου ἥρωες ἐσφάγησαν καὶ μονομάχοι καὶ βίαιοι λέγε τὸν λόγον εἰς τοὺς ψωμούς»· ἐν στίχ. 3003 φέρεται «τὴν τρυγηθεῖσαν πόαν εἰς καθαρὸν ἕλισσε ὀθό-

[1]) Μαγικὰ βιβλία κατεῖχον οἱ Αἰγύπτιοι ἤδη ἐπὶ τῶν χρόνων τῶν πυραμίδων. Πρὸς ταῦτα δὲ δέον τοὺς μετὰ ταῦτα Ἑλληνικοὺς μαγικοὺς παπύρους συνεξετάσαι. *Βίβλοι Αἰγύπτιαι* (Λουκ. Φιλοψευδ. 57) ἐκαλοῦντο τὰ ἑλληνικὰ μαγικὰ βιβλία, *αἰγυπτιάζειν* δὲ τὸ ἀδιανόητα μαγικὰ ῥήματα λαλεῖν (πρβλ. *Λουκ.* ἔ. ἀν. «ἐγὼ δὲ προχειρισάμενος τὴν φρικωδεστάτην ἐπίρρησιν αἰγυπτιάζων τῇ φωνῇ συνήλασα κατάδων αὐτὸν εἴς τινα γωνίαν σκοτεινοῦ οἰκήματος». Πιθανῶς καὶ ταῦτα Ἑλληνιστὶ ἐλέγοντο. πάπυρος δὲ μαγικός, τῶν λεγομένων δημοτικῶν, ὁρίζει τὴν μαγείαν δεῖ οὐχὶ ἐν ἄλλῃ γλώσσῃ ἀλλ' ἑλληνιστὶ λέγεσθαι (ἰδ. *Maspero*. Recueil des travaux relatifs à phil. et arch. ég. III σελ. 36), τοῦτο δὲ ἐξηγεῖται ὁ Dieterich ὡς αἰτίαν ἔχον τὴν ὀρφικὴν τῶν τοιούτων καταγωγήν. (Abraxas σελ. 155 σημ. 1). Τὰ τερατολογικὰ ταῦτα βιβλία, περὶ ὧν πολλάκις ἐν τῇδε τῇ πραγματείᾳ λόγος γίγνεται, ἀναφαίνονται ἐξιούσης τῆς ἀρχαιότητος, περιλαμβάνουσι δὲ τὰς μυστικὰς λεγομένας ἐπιστήμας τὴν ἀστρολογίαν, ἀλχημίαν, κττ., ταύτας δὲ πολλάκις ἐν ἀναφορᾷ καὶ συγγενείᾳ πρὸς τὴν θρησκείαν. Διαδίδονται οὕτω δι' αὐτῶν δοξασίαι περὶ τοὺς χρόνους τῆς τοῦ Χριστοῦ γεννήσεως εἴς τε τὰς ἀνατολικὰς καὶ τὰς δυτικὰς χώρας, εἴς τε τὴν εἰδωλολατρίαν καὶ τὸν Ἰουδαϊσμόν, εἴς τε τὴν θρησκείαν τοῦ Μίθρα καὶ τοῦ Χριστοῦ, κοιναὶ μὲν πᾶσι τούτοις, ἐξ ἄλλων δ' ὅμως ῥιζῶν τὴν πηγὴν ἔχουσαι. Ἡ ἀστρολογία μάλιστα πασῶν ἀνέρχεται περὶ τους χρόνους τῆς Χριστοῦ γεννήσεως εἰς μέγα δυνάμεως ὕψος, συνδεομένη πρὸς τὴν ἀναβιοῦσαν Πυθαγορικὴν φιλοσοφίαν·

νιον τῆς δὲ ῥίζης τὸν τόπον *ἑπτὰ* μὲν πυροῦ *κόκκους*, τοὺς δὲ ἴσους κριθῆς μέλιτι δεύσαντες ἐνέβαλον καὶ τὴν ἀνασκαφεῖσαν γῆν ἐνχώσας ἀπαλλάσσεται» (πρβλ. καὶ κατωτέρω). Ὡσαύτως ἐν στ. 1081 φέρεται «βαλὼν ἔσωθεν τοῦ ῥάκους ἀ[ε]ίζωον βοτάνην ἑλίξας δῆσον ζ´ λιναρίοις ἀνουβιακοῖς καὶ φόρει», στίχ. 1249 «ποιήσ[ε]ις ζ´ κλῶνας ἐλαίας ἄρας τὰς μὲν ἓξ δῆσον οὐρὰν καὶ κεφαλὴν ἓν καθ᾽ ἓν τῷ δὲ ἑνὶ δέρε ἐξορκίζων» στίχ. 2190 «παρακείσθω δὲ αὐτῷ πόπανα ζ´ πλακοῦντες ζ´ λύχνοι ζ´ σπένδε γάλα μέλι οἶνον ἔλαιον». Συχνότατα εὕρηται καὶ ἐν τῷ Λουγδουνικῷ Παπύρῳ J 395 παρὰ Dieterich (ἴδ. ἀν.) σελ. 170 στ. 17 «παρακείσθω δὲ καὶ τὰ θυμιάματα *τὰ* ζ´ καὶ τὰ ἄνθη *τὰ* ζ´ ἠρτισμένα» (πρβλ. καὶ σελ. 181 στίχ. 10), σελ. 171 στίχ. 8 «βαστάσας τὰ ζ´ *ἄνθη* τῶν ζ´ *ἀστέρων*» στ. 15 «ἐπίθυε τὰ ζ´ ἐπιθύματα τὰ αὐθεντικά, ἐν οἷς ἥδεται ὁ θεός. τῶν ζ´ ἀστέρων τοῖς ζ´ ἐπιθύμασιν»· σελ. 173 στ. 8 «ἔχε νίτρον τετράγωνον, εἰς ὃ γράψεις τὸ μέγα ὄνομα ταῖς ἑπτὰ φωναῖς» σελ. 189 στ. 13 «ἐὰν θέλῃς ὄφιν ἀποκτεῖναι, λέγε· στῆθι, ὅτι σὺ εἶ ὁ Ἀφύφις, καὶ λαβὼν βάϊν χλωρὰν καὶ τῆς καρδίας κρατήσας σχίσον εἰς δύο *ἐπιλέγων τὸ ὄνομα* ζ´ καὶ εὐθέως σχισθήσεται ἢ ῥαγήσεται». πρβλ. ἐπίσης σελ. 200 στ.25, καὶ πολλὰ τοιαῦτα. Τὸν τὸν δράκοντα φονεύσαντα Ἀρχάγγελον Μιχαὴλ [1] τὸν προστάτην Ἄγγελον τῶν ἐκπεσόντων Ἰουδαίων ἐπικαλοῦνται πολλάκις βοηθεῖν οἱ τοῖς μαγικοῖς παπύροις λαλοῦντες. πρβλ. στίχ. 2768 τοῦ Παπ. τ. Λούβρου (Wessely ἔ. ἀν. σελ. 114)

φλέξον ἀκοιμήτῳ πυρὶ τὴν ψυχὴν
τῆς Δ καὶ Ὠρίων καὶ ὁ ἐπάνω καθήμενος Μιχαήλ.
ἑφθ' ὑδάτων κρατέεις καὶ γαίης ἠδὲ σκότοιο
ὃν καλέουσι δράκοντα μέγαν, +ακροκοδηρε μου ιερωι(?).

Καὶ ἐπὶ φυτεύσεων δὲ καὶ θεραπειῶν τῶν φυτῶν, καὶ ἐπὶ τῆς καθ᾽ ὅλου «λαϊκῆς» ἰατρικῆς πολλάκις τοῦ ἱεροῦ τούτου ἀριθμοῦ

---

[1]) Συνδέεται οὕτω ὁ Ἀρχάγγελος πρὸς τὸν τῶν Αἰγυπτίων Ὧρον, τὸν φονεύσαντα τὸν Τυφῶνα (ἢ τὸν *Κροκόδειλον*, ὄνομα ὃ εἰκάζει ὁ *Dieterich* Abraxas 123, ἐν τῷ ἐφθαρμένῳ *+ακροκοδηρε* ὑποκρύπτεσθαι). Ἐκ τούτου καὶ αἱ τῷ Ἀρχαγγέλῳ παρεπόμεναι ἐν τῇ Ἐκκλησίᾳ παραδόσεις. Περὶ τοῦ Ὥρου πρβλ. *Πλουτάρχ.* περὶ Ἰσιδ. κεφ. ΚΑ´ καὶ ΚΒ´.

χρῆσις γίγνεται. Δείγματος χάριν ποιοῦμαι μνείαν χωρίων τινῶν. Ἐν Γεωπον. 18.7 φέρεται: κισσὸν βόσκησον *ἐπὶ ἡμέρας ζ'* καὶ οὐ νοσεῖ. 17. 21: τὴν ἀρτεμισίαν βοτάνην (...) ἐγχυματίζουσιν *ἐπὶ ἡμέρας ἑπτά*. 10, 15: ἐγχώσας τὸ ὀστέον τοῦ περσικοῦ *μετὰ ζ' ἡμέρας* ἀποκαλύψεις. 10,49: συκῆν ἀγρίαν ἡμερώσεις, ἐὰν κόψας τοὺς κλῶνας οἰνελαίῳ βρέξῃς καὶ *ποτίσῃς ἐπὶ ζ' ἡμέρας*. 8, 37: γίγαρτα σταφυλῆς ξήρανον καὶ βάλε εἰς γλεῦκος μετὰ δὲ ἡμέρας ζ' χρῶ.

Καὶ παρὰ Ῥωμαίοις τοῦτο οὐκ ἄηθες, εὑρίσκονται δὲ παρ' αὐτοῖς ἔστιν ὅτε ὅ τε ἑπτὰ ἀριθμὸς καὶ ὁ τρία παρ' ἀλλήλοις. Παρὰ Πλινίῳ ΚΔ' 118 ἀναγιγνώσκεται supervenientique ter dicere, jejuno jejunum medicamentum dare, atque ita adalligare (τ. ἔ. τὸ βασκάνιον), triduoque id facere. Quod e graminum genere *septem* interno diei habet, efficacissime capiti contra dolores adalligatur. Καὶ ὁ ἐκ τοῦ Πλινίου τὰ ἑαυτοῦ ἀντλῶν Μάρκελλος de medicam. empir I.72 (Helmreich) λέγει: si dolor ex cerebro gignetur, hederae folia septem et nucleos purgatos ex persicis septem ex oleo et aceto decoques pariterque conteres atque inde tempora et frontem dolentis obduces. VIII, 213 lapidem divides *in partes septem* et conbures, conbustum exstingues hoc modo (ἕπεται ὁ τρόπος τῆς χρήσεως τῶν ἑπτὰ μερῶν). Ἐν Πάπυρ. Βρετ. Μουσ. CXXI 393 W (385 K) ἑπομ. εὕρηται μαγικὴ *φίλτρου ποίησις*

«Ποίημα καλόν. Ἐπὶ ποτηρίου *λέγε ἑπτάκις* καμωπι... τροτη
ρωδοχ...ι καμψας ερεκιν ποθηξας ερατευν
μορφος χαρις φαφιετι ειοιω βουβαστι ποθωπι

ἐξορκίζω ὑμᾶς ἅγια ὀνόματα τῆς Κύπριδος, ὅπως ἐὰν κατάβατε εἰς τὰ σπλάγχνα τῆς δεῖνα ἢ δεῖνα ποιῆσαι φιλεῖν[1] (κοινόν) ἐν ᾧ αἱ λέξεις *καμωπι-ποθωπι* νομίζονται ὡς ἀποσπάσματα ὕμνου εἰς τὴν Ἀφροδίτην. Ἐν τῷ αὐτῷ δὲ παπύρῳ στίχ. 709 W. (643 K)

[1]) Ὁ πάπυρος ἔχει **φίλ'**, διωρθώθη δὲ ὑπὸ τοῦ Wilcken *φιλεῖν*. Ὁ L. Fahz προτείνει **φιλοῦσαν** (De poetarum Romanorum doctrina magica. Gissae 1904 σελ. 31 (137)).

ἀναγιγνώσκομεν «ποίημα λίαν θαυμαστόν. λόγος λεγόμενος εἰς τὸ ποτήριον· *λέγε ἑπτάκις*

σὺ εἶ οἶνος οὐκ εἶ οἶνος ἀλλ' ἡ κεφαλὴ τῆς Ἀθηνᾶς.
σὺ εἶ οἶνος οὐκ εἶ οἶνος ἀλλὰ τὰ σπλά[γ]χνα τοῦ Ὀσίρεως
τὰ σπλάγχνα τοῦ Ἰάω πακερβηθ:

Ὁ *Alb. Dieterich* ἐξέδωκε πάπυρον (Papyr. magic. musei Lugdun. Batav. καὶ ἐν Kleine Schriften, ἐν Λιψίᾳ 1911, σελ. 19) ἐν ᾧ λόγος ἐστὶ αὐτὸ τοῦτο «ὀνόματος ἑπταγραμμάτου[1].

---

[1]) Πρβλ. καὶ «Σάραπις ἑπταγράμματος θεός...» Μνημονεύω ἐνταῦθα ἐν παρέργῳ μέρει τῆς μαγικῆς σημασίας ἣν εἶχον παρὰ τοῖς Ἰουδαίοις μυστικοῖς τὰ **ἑπτὰ** φωνήεντα α, ε, η, ι, ο, υ, ω, δηλοῦντα τὸ τοῦ κόσμου κρατοῦν θεῖον. Ἐξ αὐτῶν παρήγοντο ὀνόματα θεῶν ἑπταγράμματα. (πρβλ. *Blau*, Altjüdisches Zauberwesen ἐν Βουδαπέστῃ, 1898, σελ. 130, 142, 144, καὶ πρὸς τὰ Ἑλληνικὰ πράγματα τὴν μνημονευθεῖσαν διατριβὴν τοῦ *von Andrian* ἐν σελ. 250 καὶ 264). Καὶ ἐν τῇ δεήσει εἰς Ἑρμῆν τὸν Τρισμέγιστον λέγεται «σοῦ τὸ ἑπταγράμματον ὄνομα πρὸς τὴν ἁρμονίαν τῶν ἑπτὰ φθόγγων ἐχόντων φωνὰς πρὸς τὰ ὀκτὼ καὶ εἴκοσι φῶτα τῆς σελήνης» *Reitzenstein*, Poimandres σελ. 264. πρβλ. καὶ Jram. Erlös. σελ. 209. Psyche σελ. 23 σημ. 2. ἔνθα καὶ λόγος περὶ τῶν ἐν τοῖς μαγικοῖς παπύροις συμβολικῶν δεήσεων (ἰδ. *Leeman*, Pap. mag. Mus. Lugd. Bat. Β' σελ. 135) ἐπικαλοῦμαί σε τὸν τὰ πάντα περιέχοντα πάσῃ φωνῇ καὶ πάσῃ διαλέκτῳ—ὅταν δὲ ἔλθῃς *ἐπὶ τὰ* ***φωνήεντα*** λέγε: Κύριε ἀπομιμοῦμαί σε ταῖς ἑπτὰ φωναῖς· εἴσελθε καὶ ἐπάκουσόν μου. Καὶ ἡ νέα τῶν Πυθαγορείων σχολὴ ἀπονέμει τοῖς ἑπτὰ πλανήταις, τοῖς ἀπεργαζομένοις τὴν ἁρμονίαν τῶν σφαιρῶν, τὰ ἑπτὰ φωνήεντα ᾱ ε̄ ῆ ῑ ō ῡ ῶ· ἰδ. *Diels*, Elementum ἐν Λιψίᾳ 1899 σελ. 19. 44. καὶ *Roscher* Hipp. Schrift. σελ 102, καὶ Siebenzahl σελ. 52 καὶ 72. *Diederich*, Kl. Schr. σελ. 223. Περὶ ***ἐννεαγραμμάτων*** ὀνομάτων ἰδὲ *Roscher*, Enneadische σελ. 129. Μνείας ἀξία ἐστὶ καὶ ἡ χρῆσις ἀριθμῶν συνθέτων πρὸς τὸ **ἑπτὰ** ὑπεμφαινόντων μαγείαν τινὰ ἢ μαγικὴν ἄλλως δύναμιν. Ἐν τῇ ἐπιγραφῇ τοῦ Σοάρχου (ἰδὲ περὶ ταύτης *Halbherr*, Museo Italiano di antich. class. 3, 730 ἑξ., *Baunack* ἐν Philologus ΜΘ', 577 ἑξ. 604 ἑξ. καὶ ΝΣΤ', 167 ἑξ.) φέρεται

νῦν δὲ Σοάρχωι αὖθις φανεὶς κατὰ πᾶν κλυτῶι υἱῶι
ὡσαύτως ὅσιον νακόρον ἀγάγαο
τεσσαρακοστῷ ἔτει τε καὶ *ἑβδομάτωι* ἵνα κράνας
λειπούσας πλήσηι νάματι τὰς πατέρος.

καὶ ἐν Ἑλλ. Ἐπιγρ. Δ' 952. 55 ἑξ. ἀναγιγνώσκεται τὸ ἐξ Ἐπιδαύρου ἴαμα «Γοργίας Ἡρακλ[ε]ιώτας πύος. Οὗτος ἐμμάχαι τινι τρωθεὶς τὸμ πλ[ε]ύμονα τοξε[ύ]μ[α]τι ἐνιαυτὸγ καὶ ἐξάμηνον ἔμπυος, ἧς οὕτω σφοδρῶς ὥστε **ἑπτὰ** καὶ ἑξήκοντα λεκάνας ἐνέπλησε πύους. ὡς δὲ ἐνεκάθευδε, ὄψιν εἶδε· ἐδόκει οἱ ὁ θεὸς τὰν ἀκίδα ἐξελεῖν ἐκ τοῦ πλεύμονος. ἁμέρας δὲ γενομένας ὑγιὴς ἐξῆλθε, τὰν [ἀ]κίδα ἐν ταῖς χερσὶ

Δῆλον ἄρα ἐστὶν ὅτι ὁ ἀριθμὸς οὗτος ἱερὸς ἐκ παλαιτάτου νομίζεται. καὶ οὕτω δὴ ὑμνεῖτο ὥστε οὐ μόνον *Ἀριστόβουλον* (παρ' *Εὐσεβ.* Προπαρασκ. Εὐαγγ. ΙΓ' 12 ἰδ. καὶ *Valckenaer* Διατριβ. περὶ Ἀριστοβ. σελ. 90-92), τὸν ἐξ Ἑβραίων περιπατητικὸν φιλόσοφον, τὸν Ἑλληνικὰ φιλοσοφήματα Ἰουδαϊκῇ θεολογίᾳ συγκαταμειγνύντα, ὁμολογεῖν ὅτι «δι' ἑβδομάδων καὶ πᾶς ὁ κόσμος κυκλεῖται», ἀλλὰ καὶ *Ἰωάννην τὸν Λυδὸν* λέγειν περὶ τοῦ ἀριθμοῦ (Περὶ μηνῶν σελ. 30, ἔκδ. Βόννης) ὅτι «μεγίστη ἡ δύναμις τῆς *ἑπτάδος*· ὁ γὰρ κατ' αὐτὴν ἀριθμὸς ἀμιγὴς ἐστι καὶ ἀμήτωρ, μήτε γεννῶν μήτε γεννώμενος, ὡς ἕκαστος τῶν ἐν δεκάδι ἀριθμῶν. ὅθεν οἱ Πυθαγόρειοι Ἀθηνᾷ τὴν ἑπτάδα ἀνατίθενται· τῇ γὰρ περιόδῳ, φασί, τῆς ἑβδομάδος πάντα ἀθάνατα διασῴζεται. καὶ διὰ τοῦτο καλοῦσιν αὐτὴν παρθένον ὀβριμοπάτραν, διότι τῆς μονάδος τῆς πάντα περιεχούσης καὶ ὑποστησάσης μόνης ἐστὶ γέννημα» καὶ πρὸ τούτου *Φίλωνα* (περὶ τῆς κατὰ Μωυσ. κοσμοπ. 90 (30 Mang.) ὅτι «τὴν δὲ ἑβδομάδος φύσιν οὐκ οἶδα εἴ τις ἱκανῶς ἀνυμνῆσαι, δύναιτο παντὸς οὖσαν λόγου κρείττονα». Καὶ *Πρόκλος* δ' ὁ Διάδοχος σημειοῦται (εἰς Πλάτ. Τιμ. Γ' 168 c) ὅτι ἡ μονὰς καὶ ἑπτὰς ἀριθμοί νοεροί τινες· ἡ μὲν μονὰς αὐτὸς καθ' ἑαυτὸν ὁ νοῦς, ἡ δὲ *ἑπτὰς* τὸ κατὰ νοῦν φῶς, καὶ διὰ τοῦτο ὁ *περικόσμιος νοῦς* μοναδικός τε καὶ ἑβδομαδικός ἐστιν («ὥς φησιν Ὀρφεύς», Ἀποσπ. 148). Πλεισταχοῦ παρὰ *Φίλωνι* εὕρηνται τοιαῦται γνῶμαι πρβλ. ἔ. ἀ. § 97 ἑξ. (23 M., πυθαγόρεια ταῦτα τοῦ Φ.), Νόμ. ἱερ. ἀλληγορ. § 4 (45 M.) («χαίρει δὲ ἡ φύσις ἑβδομάδι»), περὶ ἑβδόμης § 6 (281 M.), κτλ. Ἀλλὰ μὴ τούτων πρότερον ὁ *Ῥωμαῖος Ῥήτωρ* (Somn. Scip. ἐν de Republ. VI, κεφ. 5, 18), Σκιπίωνι τῷ Ἀφρικανῷ ἑρμηνεῖ χρησάμενος, οὐκ ἔφη τὸν ἑπτὰ «numerum» εἶναι rerum omnium fere nodum»:[1].

φέρων. Πρβλ. καὶ *O. Weinreich*, Antike Heilungswunder σελ. 106 ἑξ. καὶ 86 ἑξ. καὶ *P. Fiebig*, Antike Wundergeschichten, ἐν Βόννῃ 1911, σελ. 8·

[1]) Παρὰ τοῖς Ἕλλησιν ἡ *ἑβδόμη* κτλ. ἡμέρα τῶν μηνῶν αἴσιος εἴθισται νομίζεσθαι (ὅτι καὶ ἀπαίσιος ἐνομίζετο διδάσκει ὁ *Neidhard* ἔ. ἀ. II σελ. 23 κκ. 24), παρὰ δὲ τοῖς Βαβυλωνίοις παραδόξως πᾶσαι αἱ ἀναφοράν τινα πρὸς τὸν ἀριθμὸν ἑπτὰ ἔχουσαι ἡμέραι (7μη, 14τη, 21τή, 28τὴ κτλ.) ἀπαίσιοι ἐνομίζοντο. Τοῦτο

Διδακτικώτατον δ' ἐστι τὸ παρὰ *Κλήμεντι τῷ Ἀλεξανδρεῖ* Στρωματ. ΣΤ' κεφ. ΙΣΤ', 143 χωρίον ὃ ἀναγραπτέον καὶ μελετητέον παντὶ τῷ περὶ τὸν ἀριθμὸν σπουδάζοντι ἵνα γνῷ τὴν εἰς ὑπερβολὴν τῶν ἀνθρώπων προθυμίαν τοῦ εὑρίσκειν πανταχοῦ τὴν ἑπτάλογον ἀναφοράν. «*Ἑπτὰ* μέν εἰσιν οἱ τὴν μεγίστην δύναμιν ἔχοντες πρωτόγονοι *ἀγγέλων ἄρχοντες*, *ἑπτὰ* δὲ καὶ οἱ ἀπὸ τῶν μαθημάτων τοὺς πλανήτας εἶναί φασιν *ἀστέρας* τὴν περίγειον διοίκησιν ἐπιτελοῦντας ὑφ' ὧν κατὰ συμπάθειαν οἱ Χαλδαῖοι πάντα γίνεσθαι νομίζουσι τὰ περὶ τὸν θνητὸν βίον, παρ' ὃ καὶ περὶ τῶν μελλόντων λέγειν τινὰ ὑπισχνοῦνται, τῶν δὲ ἀπλανῶν *ἑπτὰ* μὲν αἱ *πλειάδες*, *ἑπτάστεροι* δὲ αἱ *ἄρκτοι*, καθ' ἃς αἱ γεωργίαι καὶ ναυτιλίαι συμπεραιοῦνται, ἡ *σελήνη* τε δι' *ἑπτὰ ἡμερῶν* λαμβάνει τοὺς μετασχηματισμούς· κατὰ μὲν οὖν τὴν πρώτην ἑβδομάδα διχότομος γίνεται, κατὰ δὲ τὴν δευτέραν πανσέληνος, τρίτη δὲ ἀπὸ τῆς ἀποκρούσεως αὖθις διχότομος καὶ τετάρτη ἀφανίζεται. ἀλλὰ καὶ αὐτή, καθάπερ Σέλευκος ὁ μαθηματικὸς παραδίδωσιν, ἑπτάκις μετασχηματίζεται. γίνεται γὰρ ἐξ ἀφεγγοῦς μηνοειδής, εἶτα διχότομος, εἶτα ἀμφίκυρτος πανσέληνός τε καὶ κατὰ ἀπόκρουσιν πάλιν ἀμφίκυρτος διχότομός τε ὁμοίως καὶ μηνοειδής.

Ἑπτατόνῳ φόρμιγγι νέους κελαδήσομεν ὕμνους,

ποιητής τις οὐκ ἄσημος γράφει καὶ τὴν παλαιὰν λύραν ἑπτάφθογγον εἶναι διδάσκων. ἑπτὰ καὶ περὶ τῷ προσώπῳ τῷ ἡμετέρῳ ἐπίκειται τῶν αἰσθητηρίων τὰ ὄργανα δύο μὲν τὰ τῶν ὀφθαλμῶν, δύο δὲ τὰ τῶν

αἰτίαν ἡγοῦντο τὴν Σελήνη καὶ τὰς ἐκλείψεις αὐτῆς, ἴδε *von Andrian* ἔ. ἀ. σελ. 228, *Roscher*. Fristen σελ. 4 ἑξ., 14 ἑξ., 68 ἑξ., Siebenzahl σελ. 3. Καὶ ἐν τῇ λεγομένῃ δὲ Ἑλληνιστικῇ περιόδῳ ἐθεωρεῖτο ὁ ἀριθμὸς δύο καὶ ἑβδομήκοντα (72) ἱερός· ἴδε ἀνωτέρω καὶ *Reitzenstein*, Poimandres σελ. 226. Μνημονεύω δὲ ἐνταῦθα ἐν παρόδῳ ὅτι οἱ κάτοικοι τῆς νοτίου Γερμανίας τὸν ἀριθμὸν ἑπτὰ θεωροῦσι πολλοῦ ἄξιον (ἴδ. *von Andrian* ἔ. ἀ. σελ. 252 ἑξ.). Καὶ κατὰ τὰς νῦν ἰσχυούσας δεισιδαιμονίας τῶν Γερμανῶν ὁ ἕβδομος υἱὸς ἔχει δαιμονίαν τινὰ δύναμιν ἴδ. *Wuttke*, Deutsch. Volksaberglaube § 479. Πρβλ. καὶ § 407 καὶ 405. Ἐν δὲ τῷ Τιρόλῳ θεωροῦνται ἀπαίσιοι αἱ ἡμέραι τοῦ μηνὸς αἱ ἐνέχουσαι τὸν ἀριθμὸν ἑπτὰ (7μη, 17τη, 27τη), καὶ ἐν Σιλεσίᾳ λέγεται παροιμιακῶς das war eine von meinen sieben Torheiten. Περί τινων παιδικῶν ᾀσμάτων ἴδ. *von Lebedour* Anz. für Kunde des Deutschen Mittelalters Α', 293

ἀκουστικῶν πόρων, δύο δὲ τὰ τῶν μυκτήρων, ἕβδομον δὲ τὸ τοῦ στόματος. Τάς τε τῶν ἡλικιῶν μεταβολὰς κατὰ ἑβδομάδα γίνεσθαι *Σόλωνος* αἱ ἐλεγεῖαι δηλοῦσιν ὧδέ πως

Παῖς μὲν ἄνηβος ἐὼν ἔτι νήπιος ἕρκος ὀδόντων
φύσας ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσιν·
τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσῃ θεὸς ἕπτ' ἐνιαυτούς,
ἥβης ἐκφαίνει σήματα γιγνομένης·
τῇ τριτάτῃ δὲ γένειον ἀεξομένῳ ἔτι γυίων
λαχνοῦται, χροιῆς ἄνθος ἀμειδομένης·
τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδι μέγ' ἄριστος
ἰσχύν, ἥντ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς·
πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι
καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν·
τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρός,
οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει·
ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσιν μέγ' ἄριστος
ὀκτώ τ' ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη·
τῇ δ' ἐνάτῃ ἔτι μὲν δύναται, μαλακώτερα δ' αὐτοῦ
πρὸς μεγάλην ἀρετὴν γλῶσσά τε καὶ σοφίη·
τὴν δεκάτην δ' εἴ τις τελέσας κατὰ μέτρον ἵκοιτο,
οὐκ ἂν ἄωρος ἐὼν μοῖραν ἔχοι θανάτου [1].

[1]) Πρβλ. καὶ Macrob. εἰς Somn. Scip. I, 6 καὶ τὰ παρὰ Μοσχοπούλῳ ἐκδ. Titze (ἐν Λιψ. 1822) σελ. 49: ἑπτὰ τῶν ἀνθρώπων ἡλικίαι. «Ἡλικίαι εἰσὶν ἑπτὰ τοῦ ἀνθρώπου. καὶ πρώτη ἡλικία, ἀπὸ γεννήσεως ἕως ἐτῶν τεσσάρων, βρέφος· δευτέρα, παῖς, ἀπὸ ἐτῶν πέντε, ἕως ἐτῶν ιδ'. τρίτη, μειράκιον, ἀπὸ ἐτῶν ιε', ἕως κβ'. τετάρτη, νεανίσκος, ἀπὸ ἐτῶν κγ', ἕως ἐτῶν μα'. πέμπτη, ἀνήρ, ἀπὸ ἐτῶν μβ'. ἕως ἐτῶν νστ', ἕκτη, γηραιός, ἀπὸ ἐτῶν νζ', ἕως ἐτῶν ξη'. ἑβδόμη, ἀπὸ ἐτῶν ξη', ἕως τῆς ζωῆς αὐτοῦ· καὶ ἀπὸ τούτου χρόνιος». Πρβλ. περὶ τῶν ἑπτὰ *ἡλικιῶν* καὶ *Roscher* ἐν Hipp. Schr. σελ. 54 ἑξ. καὶ 84 ἑξ. καὶ Hebdomadenlehre σελ. 14 ἑξ. καὶ Altpythagoreismus σελ. 32 καὶ περὶ τῶν ἑπτὰ «μεθηλικιώσεων» τοῦ ἀνθρώπου, *Fr. Boll*, Die Lebensalter σελ. (109) 21. πρβλ. καὶ σελ. 116 (28) ἑξ. 129 (41) Καὶ ὁ Συριανὸς δ' ὁ Ἀλεξανδρεύς, ὁ Φιλοξένου, ὁ τοῦ Πρόκλου διδάσκαλος γενόμενος, σημειοῦται ἐν τοῖς ὑπομνήμασιν αὐτοῦ εἰς τὰ Μετὰ τὰ φυσικὰ τοῦ Ἀριστοτέλους (1093, α, ἰδ. Ἔκδ. Ἀριστ. Βερολιν. Ἀκαδημ. τόμ. Ε' σελ. 940) ὅτι ὁ Πυθαγόρειος Πρῶρος πολλὰ καὶ σεμνὰ καὶ θεοπρεπῆ περὶ ἑπτάδος εἰπὼν (....) δείκνυσι συνετῶς *ὅπως ἡ φύσις δι' ἑπτὰ ἐτῶν ἢ μηνῶν ἢ ἡμερῶν πλεῖστα τῶν πραγμάτων τελειοῖ ἢ μεταβάλλει.*

145. Πάλιν ἐν ταῖς νόσοις *κρίσιμος ἡ ἑβδόμη* (πρβλ. ἀνωτ.) καὶ ἡ τεσσαρεσκαιδεκάτη, καθ' ἃς ἡ φύσις διαγωνίζεται πρὸς τὰ νοσοποιὰ τῶν αἰτίων. Καὶ μυρία τοιαῦτα *ἁγιάζων τὸν ἀριθμὸν* παρατίθεται Ἕρμιππος ὁ Βηρύτιος ἐν τῷ περὶ ἑβδομάδος. σαφῶς δὲ τὸν περὶ ἑβδομάδος τε καὶ ὀγδοάδος μυστικὸν λόγον τοῖς γινώσκουσι παραδίδωσιν ὁ μακάριος Δαβὶδ ὧδέ πως ψάλλων (Ψαλμ.90.9 ἑξ.) «τὰ ἔτη ἡμῶν ὡς ἀράχνη ἐμελέτων. αἱ ἡμέραι τῶν ἐτῶν ἡμῶν ἐν αὐτοῖς ἑβδομήκοντα ἔτη, ἐὰν δὲ ἐν δυναστείαις, ὀγδοήκοντα ἔτη· εἴη δ' ἡμᾶς βασιλεύειν». Καὶ ταῦτα μὲν τὰ τοῦ Κλήμεντος. Αἱ δ' ἐφθήμεροι καὶ πλανητικαὶ ἑβδομάδες φαίνονται ἐξ Ἀλεξανδρείας εἰς τοὺς ἀνθρώπους διαδοθεῖσαι[1] ὡς ἡμῖν τοῦτο ὑπὸ Δίωνος τοῦ Κασσίου σαφῶς μαρτυρεῖται ΛΖ', 18 ἑξ. «τὸ δὲ δὴ ἐς *τοὺς ἀστέρας τοὺς ἑπτὰ* τοὺς πλανήτας ὠνομασμένους *τὰς ἡμέρας ἀνακεῖσθαι*, κατέστη μὲν ὑπ' Αἰγυπτίων πάρεστι δὲ καὶ ἐπὶ πάντας ἀνθρώπους οὐ πάλαι ποτὲ ὡς λόγῳ εἰπεῖν ἀρξάμενον· οἱ γοῦν ἀρχαῖοι Ἕλληνες οὐδαμῇ αὐτό, ὅσα γε ἐμὲ εἰδέναι, ἠπίσταντο». Ἡ πλανητικὴ ἑβδομὰς ἐγεννήθη ἐκ τῆς πίστεως ὅτι οἱ πλανῆται καθ' ἐφθήμερον περίοδον ἀλλήλοις ἕπονται, ἀνὰ μίαν ἡμέραν βασιλεύοντες. Ἀπὸ τῶν χρόνων δέ που τοῦ Αὐγούστου ἡ ἐφθήμερος αὕτη πλανητικὴ ἑβδομὰς ἐξέβαλε τῷ χρόνῳ τὴν παλαιὰν *ὀχθήμερον* τῶν Ῥωμαίων *ἑβδομάδα* ((nundinae)[2]. Γενικῶς δ' εἰπεῖν διορᾷ τις καὶ ἐν αὐτῇ τῇ φιλοσοφίᾳ, μάλιστα δὲ πάντων τῇ Στωϊκῇ, τὴν προαίρεσιν τοῦ προσαρμόττειν τὰ παρατηρούμενα οὐράνια φαινόμενα (ἀστρολογίαν) καὶ πρὸς τὴν θρησκείαν τοῦ λαοῦ, καίτοι ὁ Καρνεάδης διὰ μακροτέρων ἀποδείξεων πρὸς τὰ δόγματα ταῦτα τῆς Στοᾶς ἀναφερόμενος ἀπέρριπτε τήν τε ἀστρολογίαν καὶ πᾶσαν μαντικήν[3]. Ἀλλ' ἡ Στοὰ παρέχει ἡμῖν τὸ παράδοξον, ὀρθότερον δ' εἰπεῖν ἐπίκαιρον φανόμενον τοῦ διπλοῦ προσώπου. Ἀφ' ἑνὸς μὲν

---

[1]) Καὶ εἶχον μὲν οἱ Ἰουδαῖοι ἀπὸ τῆς δευτέρας χιλιετηρίδος πρὸ Χριστοῦ τὴν ἐφθήμερον ἑβδομάδα ἧς τὸ τέλος ἦν τὸ *Σάββατον*, ἀλλ' οὗτοι **ἀπηρίθμουν** τὰς οὕτω ἀνωνύμους κυρίως ἡμέρας. Ἡ ἑπταδικὴ αὕτη διαίρεσις προῆλθε πιθανώτατα ἐκ τῶν φάσεων τῆς σελήνης.

[2]) Ἰδ. περὶ τούτων διὰ μακρῶν τὸ ἄρθρον *Planeten* τοῦ Roscher ἐν τῷ Μυθολογ. αὐτοῦ Λεξικῷ. *Schürer* ἐν Zeitschrift für neutest. Wiss. τόμ. ΣΤ', 1 ἑξ. καὶ *Fr. Boll* ἐν Neue Jahrb. 115—116.

[3]) Ἰδ. *Fr. Boll* ἐν Flekeisens Jahrb. Suppl. ΚΑ' σελ. 181 ἑξ.

τὴν θεωρητικὴν παρατήρησιν τῶν τοῦ κόσμου, ἀφ' ἑτέρου δὲ ὑποχώρησίν τε καὶ ἀποδοχὴν τῶν ἐν τῷ κόσμῳ ἀναγκῶν καὶ προσαρμογὴν πρὸς τὰ ὄντα, ἢ νεωτερικώτερον εἰπεῖν πρὸς τὴν «πραγματικότητα», ὡς οὐδεμία ἄλλη τῆς φιλοσοφίας σχολὴ τοῦτ' ἔπραξε. Ἡ τῆς Στοᾶς θεολογία πρὸς τὴν τοῦ λαοῦ θρησκείαν συνδέεται ἐν τῷ κοινῷ δόγματι ὅτι σύμπας ὁ κόσμος θείων δυνάμεων πλήρης ἐστὶ καὶ ἐνεργειῶν. Ἐν ταύτῃ ζητεῖ τὴν ἀποκάλυψιν βαθυτέρας σοφίας, ἡ δὲ ἐναρμόνιος προσαρμογή. ἵνα τούτου μόνον μνημονεύσωμεν, τῆς τε ἀστρολογίας καὶ παντὸς εἴδους τεχνητῆς μαντείας πρὸς τὰ διδάγματα αὐτῆς περὶ τύχης καὶ περὶ ἐσωτερικῆς συνοχῆς καὶ συμπαθείας πάντων τῶν τοῦ κόσμου μερῶν, ἀληθῶς θαυμάσιόν τι ἐπίτευγμά ἐστι. Ἡ ἀλληγορικὴ σημασία, ἣν οὕτω συχνάκις ἐν τῷ ἀριθμῷ ἑπτὰ βλέπομεν, ἀπεργάζεται τὸ πᾶν.

Ἐκ τοῦ παλαιοτάτου δὲ μαγικοῦ καθαγιασμοῦ καὶ ἐκ τῆς καθιερώσεως (ἄχραντος ἑπτὰς Πρόκλ. εἰς Πλάτ. Τίμ. 24, δ) τοῦ ἀριθμοῦ τούτου, (γενομένης πρὸς τοῦτο, ὡς ἐγὼ ἐμαυτὸν πείθω, ἀφορμῆς πρώτης τῶν σχημάτων τῆς σελήνης, ἴδ. ἀνωτέρω) καὶ *Φίλων*. Νομ. ἀλληγ. 8 ἐκδ. Cohn), καὶ τῆς τούτοις παρεπομένης εὐσεβείας τε καὶ τιμῆς ῥαδίως εἶτα συνέβη ὑπάρχοντί που τῷ ἀριθμῷ τούτῳ προσέχειν τὸν νοῦν [1] ἢ τοῦτον ἀναζητεῖν τε καὶ ἀνευρίσκειν καὶ ἐπινοεῖν, πρὸς δὲ καὶ προθεσμίας δι' αὐτοῦ ὁρίζειν· ἐπὶ τοσοῦτο δὲ τὸ πρᾶγμα προῆλθεν ὥστε ἀπ' αὐτοῦ καὶ ὀνομασίας κεῖσθαι πολλοῖς τε ἄλλοις καὶ κυρίοις ὀνόμασι. Ἡ τοιαύτη δὲ τοῦ ἀριθμοῦ παρακολούθησις οὐ μόνον εἰς μαγγανείαν τῷ χρόνῳ καὶ δεισιδαίμονα ἁγιστείαν («ἑπτὰ μαθαλλίδας ἐπίχεε ἡμῖν τῷ γλυκυτάτῳ» παρ' *Ἀθην*. ΙΑ' 11 πρβλ. καὶ Γ' 7), ἀλλ' αὐτὸ τοῦτο (ἐν τοῖς περὶ τὸν Χριστὸν μάλιστα χρόνοις, ἴδ. ἀνωτέρω) καὶ εἰς ἑπταδικὴν ἐπισχέσεως δεομένην μανίαν καὶ λῆρον ἀπέβη. Συνορᾷ δέ τις τοῦτο τὸν νοῦν προσσχὼν οὐ μόνον τοῖς ἐλλόγως διαριθμουμένοις τ. ἕ. τοῖς ἑπτὰ γεγονόσι πλάνησι, τῇ ἑπτὰ ἄστροις συμπληρουμένῃ ἄρκτῳ, καὶ ταῖς γιγνομέναις ἑβδομάσι τροπαῖς τῆς σελήνης «τοῦ

---

[1]) Πρβλ. τὰ περὶ τοῦ Δούκα λεγόμενα ἐν Κωνστ. Μανασσῆ Συνοψ. Χρονικῇ 64 29: ἐν *ἑπταρίθμοις* δὲ παισὶ τὸν οἶκον ὑπερείσας ὥσπερ ἐν κίοσι ἑπτὰ παγίως ἀραρόσι· πρβλ. καὶ 6455.

συμπαθεστάτου πρὸς τὰ ἐπίγεια ἄστρου» ἀλλὰ καὶ αὐτοῖς τοῖς τρόπον τινὰ ἐξευρεθεῖσι ἑπταμήνοις βρέφεσι καὶ ταῖς ἄχρι ἑβδομάδος παρατεινομέναις ταῖς γυναιξὶ καταμηνίοις καθάρσεσι, μάλιστα δὲ πάντων τοῖς περιέργως τετεχνημένοις καὶ κενοῖς, οἷον δὴ τῷ ἀνθρώπῳ τῶν κατὰ τὴν πρώτην μὲν ἑπταετίαν λογικῷ γινομένῳ κατὰ δὲ τὴν δευτέραν ἑπταετίαν ἄκρως τελειουμένῳ, καὶ τῷ ἑπταμερεῖ ἀλόγῳ τῆς ψυχῆς, καὶ τῶν ἑπτὰ κινήσεων τοῦ σώματος, καὶ τῶν ἑπτὰ σπλάγχνων (στομάχῳ, καρδίᾳ, σπληνί, ἥπατι, πνεύμονι, δυοῖν νεφροῖς), καὶ τῶν ἑπτὰ μελῶν τοῦ σώματος (κεφαλῆς, τραχήλου, στέρνου, χειρῶν, κοιλίας, ἤτρου, ποδῶν). Ταῦτα τε καὶ ἄλλα εὕροι ἄν τις παρὰ *Φίλωνι* (Νομ. ἱερ. ἀλληγορ. Α' 4 ἑξ. Cohn) ὡς καὶ ὅτι τὸ ἡγεμονικώτατον τοῦ ζῴου πρόσωπον *ἑπταχῇ κατατέτρηται* (δυοῖν ὀφθαλμοῖς καὶ ὠσὶ δυσίν, ἴσοις μυκτῆρσιν, ἑβδόμῳ στόματι) [1] καὶ ὅτι αἱ ἀποκρίσεις ἑπτὰ (δάκρυα, μύξαι, σίελος, σπέρμα, διττοὶ περιττωμάτων ὀχετοί, καὶ δι' ὅλου τοῦ σώματος ἱδρώς!).

Οὕτω τοίνυν ἑρμηνευτέα ἡ καταφανὴς καὶ πολυειδὴς σύνθεσίς τε καὶ προτίμησις αὐτοῦ ἔν τε τῇ μυθολογίᾳ καὶ ἐν τῇ ἱστορίᾳ. Παρέχομαί τινα παραδείγματα τούτου ἀρχόμενος ἀπὸ τοῦ *Ὁμήρου* παρ' ᾧ πολλά τις ἂν ἔχοι τοιαῦτα δεῖξαι λεγόμενα. Ὁ Ἀγαμέμνων ἐν Ἰλιάδι ἀποκρινόμενος Νέστορι αὐτῷ διαλλαγὴν πρὸς τὸν Ἀχιλλέα παραινοῦντι, ὑπισχνεῖται δώσειν τῷ Ἀχιλλεῖ ἄλλα τε καὶ *ἑπτὰ ἀπύρους τρίποδας*, καὶ *ἑπτὰ γυναῖκας* Λεσβίδας «αἳ κάλλει ἐνίκων φῦλα γυναικῶν» (Ἰλ. Ι. 122. 128, πρβλ. 270 καὶ 638 καὶ *Εὐσταθ*. 740.58 ἑξ.).

---

[1]) Ἄξιον ἀναγραφῆς ἐνταῦθα νομίζω τὸ παρὰ *Bouché-Leclercq*, Histoire de la divination dans l'antiquité, ἐν Παρισίοις Α' (1879) σελ. 228 χωρίον «Les *influences planétaires* ont été, comme celles du Zodiaque, distribuées *dans le corps humain*, mais non plus suivant un ordre quelconqne. Pour donner une idée de ce que se permit la fantaisie astrologique, il suffira de dire que, dans le système égyptien, adopté par Firmicus, le soleil prend la tête et particulièrement l'oeil droit; la lune, l'oeil gauche; Jupiter le côté gauche et particulièrement l'oreille avec le foie, qui pourtant est à droite; Saturne, le côté droit et spécialement l'oreille avec la rate, qui se trouve à gauche (cf. Firmic., II, 10. cf. Sex. Empiric. adv. astrol. 31), etc. Les theories les plus incompréhensibles passaient pour les plus profondes». Ἰδὲ καὶ σελ. 231 ἑξ.

Ὁ Εὔμαιος διανέμει τὰ μέλη τοῦ ἀποσφαγέντος ἱερείου «δαΐζων πάντα *ἔπταχα*» (Ὀδ. ξ, 434). Ὁ δὲ ἱερεὺς τοῦ Ἀπόλλωνος Μάρων δωρεῖται τῷ Ὀδυσσεῖ «χρυσοῦ εὐεργέος *ἑπτὰ* τάλαντα» (Ὀδ. ι, 202). Ὁ Ὀδυσσεὺς ἀφικνεῖται *ἑβδομάτῃ* ἡμέρᾳ «Λάμου αἰπὺ πτολίεθρον Τηλέπυλον λαιστρυγονίην» (Ὀδ. κ, 81 ἑξ.). οἱ δὲ ἑταῖροι αὐτοῦ ἐπὶ ἓξ ἡμέρας «δαίνυντ' Ἠελίοιο βοῶν ἐλάσαντες ἀρίστας», ἀποπλέουσι δὲ κατὰ τὸ *ἕβδομον* ἦμαρ» ὅτε καὶ ὁ Κρονίων καταστρέφει τὸ πλοῖον αὐτῶν (Ὀδ. μ, 397 ἑξ.) ὁμοίως ἐν ξ. 249 λέγει ὁ Ὀδυσσεὺς ὅτι ἓξ ἡμέρας εὐωχοῦντο οἱ ἐρίηρες αὐτοῦ ἑταῖροι «*ἑβδομάτῃ* δ' ἀναβάντες ἀπὸ Κρήτης εὐρείης ἐπλέομεν» [1]. Ἐν πᾶσι τούτοις, ὥς γ' ἐμοὶ δοκεῖ, οὐκ' ἐπ' ἀκριβὲς τὸν ἀριθμὸν ἑπτὰ ἑρμηνευτέον, μᾶλλον δὲ νομιστέον αὐτὸν ἔνδειξιν ἱκανοῦ πλήθους ὅ τις καὶ ἀριθμῷ ἱερῷ ὁρίσαι βούλεται. Ταύτην δὲ τὴν γνώμην ἐπέρρωσάν μοι καὶ τάδε τὰ χωρία. Πάντες που ἴσμεν ὅτι Ὅμηρος ἡμῖν παραδίδωσιν (Ἰλ. Φ, 407) Ἄρην πληγωθέντα ὑπ' Ἀθηνᾶς καὶ πεσόντα ἐπισχεῖν «*ἑπτὰ* πέλεθρα» [2]· τούτῳ δὲ ὁ ποιητὴς τῷ ῥήματι μόνον ὑπερμεγέθη ἔκτασιν δηλῶσαι βούλεται. Ὁ *Ἡρόδοτος* λέγει (Δ' 24) ὅτι «Σκυθέων οἳ ἂν ἔλθωσι ἐς αὐτοὺς (Ἀγριππαίους) δι' *ἑπτὰ* ἑρμηνέων καὶ δι' *ἑπτὰ* γλωσσέων διαπρήσσονται», ὁ αὐτὸς δ' ἱστορικὸς διηγεῖται (Η' 56) ὅτι «διέβη ὁ στρατὸς αὐτοῦ (τοῦ Ξέρξου) «ἐν *ἑπτὰ* ἡμέρῃσι καὶ ἐν *ἑπτὰ* εὐφρόνῃσι» τὸν Ἑλλήσποντον». Τοὺς ἐν Πλαταιαῖς παρατασσομένους Σπαρτιάτας (Γ' 28 καὶ 29) «ἐφύλασσον

---

[1]) Καὶ ὁ Ὀδυσσεὺς μεταβαίνων ἐκ τῆς νήσου τῆς Καλυψοῦς εἰς τὴν χώραν τῶν Φαιάκων «*ἑπτὰ* καὶ δέκα πλέεν ἤματα ποντοπορεύων» (Ὀδ. ε. 278), ἰδὲ *Roscher*, Fristen σελ. 46 καὶ 60. Σημείωσαι ὅτι ὁ μυθολόγος *Gruppe* (Griech. Mythol. 941,2) τὸ «*ἐξῆμαρ* μὲν ὁμῶς πλέομεν... *ἑβδομάτῃ* δ' ἱκόμεσθα Λάμου αἰπὺ πτολίεθρον» (Ὀδυσσ. κ, 81) προθεσμίαν ἓξ ἡγεῖται ἁπλῶς ἡμερῶν ὁρίζειν.

[2]) Ὁ Τιτυὸς ἔκειτο ἐν δαπέδῳ ἐπ' *ἐννέα* πέλεθρα (Ὀδ. λ. 577), τοῦτο δὲ ἀναφορὰν ἔχει πρὸς τὴν τοῦ ἀριθμοῦ *τρία* δύναμιν (τρία ἐπὶ τρία) ἰδὲ *Roscher* Enneadische σελ. 37 σημ. 75. Τὴν ἐπίδοσιν τοῦ ἀριθμοῦ *ἑπτὰ* θεωρεῖ ὁ *H. Diels* (Ein orphischer Demeterhymnus ἐν Festschrift Th. Gomperz dargebracht. ἐν Βιέννῃ 1902 σελ. 9) παλαιοτάτην. δισχιλίων ἐτῶν πρὸ Χριστοῦ, ὅτε ἡ πρὸς ἄλληλα τῶν ἐθνῶν ἐπιμειξία πολὺ μᾶλλον προηγμένη ἦν ἢ βραδύτερον καὶ τὰ παρ' ἀλλήλοις νομιζόμενα εὐκολώτερον προσεδέχοντό τε οἱ ἄνθρωποι καὶ ἠσπάζοντο· οὐδὲν δ' ὅμως ἧττον ἐν τοῖς παλαιοτάτοις συγγράμμασι, ἡ σπουδαιότης αὐτοῦ πολὺ ἐλάσσων τῆς τοῦ *ἐννέα* ἀριθμοῦ φαίνεται.

ψιλοὶ τῶν εἱλωτέων πεντακισχίλιοι καὶ τρισμύριοι, *περὶ ἄνδρα ἕκαστον ἑπτὰ τεταγμένοι*» ἵνα καὶ ὁ ἀριθμὸς συνεπικουρῇ τῇ σωτηρίᾳ καὶ νίκῃ. Ἐν τοῖς ἀρχαιοτάτοις δὲ παρ' Ἕλλησι τεκμηρίοις ἑφθημεροῦς προθεσμίας νομίζεται τὸ παρὰ τῷ αὐτῷ ἱστορικῷ (Ζ' 12) περὶ τῆς παρὰ Λάδην ναυμαχίας λεγόμενον : μέχρι μὲν νυν ἡμερέων ἑπτὰ ἐπείθοντο (οἱ Ἴωνες) καὶ ἐποίουν τὸ κελευόμενον, τῇ δ' ἐπὶ ταύτῃσι (...) τετρυμένοι ταλαιπωρίῃσι καὶ ἡλίῳ, ἔλεξαν πρὸς ἑωυτοὺς τάδε. Παρ' Εὐριπίδῃ (Ἑλέν. 111) διερωτᾷ ἡ Ἑλένη τὸν Τεῦκρον «πόσον χρόνον διαπεπόρθηται» τὸ Ἴλιον, ὁ δὲ Τεῦκρος ἀποκρίνεται ὅτι «ἑπτὰ σχεδόν τι καρπίμους (καμπίμους Nauck) ἐτῶν κύκλους» καὶ ἐν στ. 773-776 ἡ Ἑλένη τὸν ἀναγνωρισθέντα *πόσιν* ἀνερομένη «πόσον χρόνον πόντου 'πὶ νώτοις ἅλιον ἐφθείρου πλάνον ;» μανθάνει ὅτι «ἐνιαυσίους πρὸς τοῖσιν ἐν Τροίᾳ δέκα | ἔτεσι διῆλθον ἑπτὰ περιδρομὰς ἐτῶν». πρβλ. Ὁμ. Ὀδ. δ, 82. Καὶ Σωκράτης δὲ παρὰ *Πλάτωνι* (Θεαιτήτῳ 174, θ) λέγει ὅτι ἐλογίζετό τις γενναῖος «*ἑπτὰ πάππους* πλουσίους ἔχων ἀποφῆναι». Καὶ ὁ Ἡσύχιος δὲ τῷ ἀσαφεῖ γλωσσήματι *ἐνδοιΐτιναι* «τοὺς ἀπὸ ἑπτὰ πατέρων καὶ μητέρων ἀστῶν κατάγοντας τὸ γένος» δηλοῖ [1]. Τὸ ἅγιον τοῦ ἀριθμοῦ καὶ τὴν περὶ αὐτὸν πτόησιν συνορῶμεν καὶ ἐν τοῖς ὑπὸ τοῦ Ἀλκιβιάδου περὶ αὐτοῦ λεγομένοις ἐπαίνοις (*Θουκυδ.* ΣΤ' 16,2). [2] Παρ' *Ἀριστοφ.* Λυσιστρ. 698 ἀναγιγνώσκομεν «οὐ

---

[1]) Ὁ *Lobeck* ἐπιβοηθούμενος καὶ ὑπὸ παλαιοτέρων εἰκασιῶν (ἰδὲ ἔκδ. Ἡσυχίου ὑπὸ Albert) μετέγραψεν εἰς *ἐνδοίγεναι*, λατ. indigenae, οὐχὶ ἀφυῶς οὐδ' ἀπιθάνως, παρὰ τὸ parum probabiliter τοῦ Schmidt.

[2]) Ἰδίας χρήζει ἐξετάσεως καὶ ἀκριβώσεως ὁ ἀριθμὸς ἑπτὰ παρ' ἑνὶ ἑκάστῳ τῶν παλαιῶν Ἑλλήνων συγγραφέων παρ' οἷς ἡ χρῆσις αὐτοῦ οὐχὶ σπανίως καί τινα ὑπολανθάνουσαν ἐπισημασίαν ὡς ἀφανῆ συνοδὸν ἔχει. Δείγματος χάριν ἐξετάζω νῦν τὸν Θουκυδίδην εἰς τοῦτο. Ἡ παρὰ τούτῳ τῷ ἀταράκτῳ ἱστορικῷ μνεία τοῦ ἀριθμοῦ ἑπτὰ φαίνεται ἄνευ ἄλλης τινὸς ἐπισημασίας, οἵαν δὴ παρὰ πολλοῖς ὡς εἴρηται ἄλλοις συγγραφεῦσιν εὑρίσκομεν, πλήν που ὀλίγων τινῶν χωρίων· ἐπέρχομαι ταῦτα περιεργίας χάριν οὐ μέγα τι ἴδιον τούτοις ἐπικρίνων οὐδ' ἀποδιδούς.

Καὶ δὴ οὐδεὶς μὲν ἂν τῷ ἐν Β' 86,3 λεγομένῳ ἄλλην ἢ γεωγραφικὴν μόνον σημασίαν ἀποδοίη. Τοῦ λόγου ὄντος περὶ τοῦ τοῖς Ἀθηναίοις φιλίου Ῥίου τοῦ Μολυκρικοῦ ἐπάγεται ὁ ἱστορικὸς διαγράφων λαμπρῶς τὴν ἀμφίρροπον γενομένην ναυμαχίαν τῶν Πελοποννησίων πρὸς τὸν Φορμίωνα «τὸ δ' ἕτερον Ῥίον ἐστὶν ἀντιπέρας, τὸ ἐν τῇ Πελοποννήσῳ· διέχετον δὲ ἀπ' ἀλλήλων σταδίους μάλιστα ἑπτὰ τῆς

γὰρ ἔσται δύναμις, οὐδ' ἢν *ἑπτάκις* (=πολλάκις) σὺ ψηφίσῃ· ὁ δὲ Φιλοκράτης ὁ Στρούθιος ψέγεται ὑπὸ τοῦ χοροῦ τῶν Ὀρνίθ. (Ἀριστοφ. 1079) ὅτι ***συνείρων τοὺς σπίνους πωλεῖ καθ' ἑπτὰ τοὐβολοῦ***, εὐτελίζων αὐτοὺς κατὰ τὸν Σχολιαστήν. Ἐν τῇ ἑβδόμῃ *Πλατων.* ἐπιστολῇ (332, a) ἀποκαλεῖται ὁ Διονύσιος «ἑπταπλασίως φαυλότερος Δαρείου» (πρβλ. καὶ τὰ ἑπομ. *ἑπτὰ καὶ ἑβδομήκοντα*). Μνημονεύω καὶ τοῦ ***Εὐσταθ.*** 450, 41 τί γὰρ μέγα δισπίθαμον κέρας ἀγρίου αἰγός, εἴ γε καὶ ἓν καθ' αὑτὸ μόνον ὦπται καὶ ὑπὲρ τέσσαρας σπιθαμὰς καὶ ἕως καὶ ὑπὲρ *ἑπτά*» Ἐν πᾶσι τούτοις τοῖς χωρίοις καὶ τοῖς τυχὸν ἄλλοις παρομοίοις τὸν ἑπτὰ ἀριθμὸν εἶναί που μόνον πλήθους δηλωτικὸν οὐχὶ δ' ἀριθμητικῆς ἀκριβοῦς δυνά-

---

θαλάσσης». Οἱ Κερκυραῖοι, Γ' 81, 4, ὠμότατα ἐφόνευον ἢ ἑαυτοὺς φονεῦσαι ἠνάγκαζον «τοὺς ἐχθροὺς σφῶν *αὐτῶν* δοκοῦντας εἶναι ***ἡμέραις ἑπτά»***. Αὐτὸς ὁ ἱστορικὸς σπεύδει πλέων (Δ' 104,5) «*κατὰ τάχος ἑπτὰ* ***ναυσὶν*** αἳ ἔτυχον παροῦσαι, καὶ ἐβούλετο φθάσαι μάλιστα μὲν οὖν τὴν Ἀμφίπολιν πρίν τι ἐνδοῦναι, εἰ δὲ μή, τὴν Ἠιόνα προκαταλαβών» τοῦτο δὲ δὴ καὶ αἰτία ἐγένετο τῆς μετὰ ταῦτα μακρᾶς αὐτοῦ φυγῆς. Ὁ Βρασίδας στρατεύσας ἐπὶ Κορώνην τὴν Χαλκιδικὴν (Δ' 110) τάσσει εἴκοσι ἄνδρας εἰσελθεῖν λάθρᾳ εἰς τὴν πόλιν, **ἀλλὰ** τούτων τῶν ταχθέντων τὸ πρῶτον εἴκοσι ἀνδρῶν μόνον **ἑπτὰ οὐ κατέδεισαν** εἰσελθεῖν. Ἐκπλήσσεταί τις μανθάνων, Ε' 11, 2, ὅτι κατὰ τὴν ἐν Ἀμφιπόλει, **παρὰ** τὴν Ἠιόνα, μάχην τοῦ Βρασίδου πρὸς τὸν Κλέωνα (ὅτε κα ἀμφότεροι ἔπεσον) τῶν μὲν Ἀθηναίων ἐφονεύθησαν περὶ τοὺς **ἑξακοσίους**, τῶν δ' ἐναντίων (Λακεδαιμονίων, κτλ.) μόλις *ἑπτά!* Οἱ Λακεδαιμόνιοι (Ε' 68, 3) ἔχοντες ἑπτὰ λόχους παρατάσσονται ἐναντίον τῶν **πολεμίων αὐτῶν** Μαντινέων **καὶ** Ἀρκάδων **καὶ** Ἀργείων καὶ Κλεωναίων καὶ Ὀρνεατῶν, ὧν πολλὰ μὲν τὰ ὀνόματα μικρὰ δ' ἡ δύναμις. Καὶ ὁμολογεῖ μὲν ὁ ἱστορικὸς ὅτι μεῖζον ἐφάνη τὸ στρατόπεδον τῶν Λακεδαιμονίων, **ἀλλ'** ἐπιφέρει ὅτι ἀριθμὸν δὲ γράψαι ἢ καθ' ἑκάστους ἑκατέρων ἢ ξύμπαντας οὐκ ἂν τις ἐδύνατο ἀκριβῶς. Λόγου **τινὸς** ἴσως πλείονος ἄξιόν ἐστι τὸ ὑπὸ τοῦ κομπώδους καὶ μεγαλαύχου Ἀλκιβιάδου λεγόμενον, ΣΤ' 16,2, ὅτι οἱ Ἕλληνες ὑπὲρ δύναμιν μείζω τὴν τῶν Ἀθηναίων πόλιν ἐνόμισαν τῇ διαπρεπεῖ αὐτοῦ Ὀλυμπίαζε θεωρίᾳ, διότι *ἅρματα* μὲν **ἑπτὰ** καθῆκε, ὅσα οὐδείς πω ἰδιώτης πρότερον, ἐνίκησε δὲ καὶ δεύτερος καὶ τέταρτος ἐγένετο. Ἴσως τοῦτο τὸ ἱερὸν τοῦ ἀριθμοῦ καὶ ἐν τῇ θεωρίᾳ δηλῶσαι βούλεται. Ἐποιησάμεθα σύντομον ἐν τοῖς ἀνωτέρω ῥηθεῖσι μνείαν ὅτι ἡ ἑβδόμη ἡμέρα κρίσιμος ἢ «γόνιμος» ἦν. Καὶ **παρὰ** τῷ ἡμετέρῳ δ' ἱστορικῷ (Β' 49, 4) εὕρηται ἐν τῇ θαυμασίᾳ τοῦ λοιμοῦ περιγραφῇ ὅτι οἱ ὑπ' αὐτοῦ ταλαιπωρούμενοι «διεφθείροντο οἱ **πλεῖστοι ἐναταῖοι** καὶ ἑβδομαῖοι ὑπὸ τοῦ ἐντὸς **καύματος»** πρβλ. καὶ ***Λουκ.*** πῶς δεῖ ἱστορ. συγγραφ. 1. Φιλόψ. 25 κτλ. καὶ ἰδὲ *Roscher*. Fristen **σελ.** 48 σημ. 153 καὶ 154 (παρ' Ἀσσυρίοις). — Καὶ ἐν Βυζαντιακῷ κειμένῳ ἐκδοθέντι ὑπὸ Σπ. Λάμπρου ἐν τῷ Ν. Ἑλληνομν. Θ' 171 φέρεται ὅτι ὁ *Παχνίτης*

μεως πᾶς τις ἄν μοι ὁμολογήσειε [1]. Πρὸς δὲ τὸν ἡμέτερον συμβάλλεται σκοπὸν καὶ τὸ παρ' *Ἡροδότῳ* (Α' 68) μνημονευόμενον γεγονὸς περὶ τοῦ Λίχα καί τινος χαλκέως ἐν Τεγέᾳ· «ἐγὼ γὰρ (λέγει ὁ χαλκεὺς πρὸς τὸν Λίχαν) ἐν τῇδε θέλων τῇ αὐλῇ φρέαρ ποιήσασθαι, ὀρύσσων ἐπέτυχον *σορῷ ἑπταπήχεϊ*· ὑπὸ δὲ ἀπιστίης μὴ μὲν γενέσθαι μηδαμὰ μέζονας ἀνθρώπους τῶν νῦν ἄνοιξα αὐτὴν καὶ εἶδον τὸν νεκρὸν μήκεϊ ἴσον ἐόντα τῇ σορῷ». Καὶ ἐνταῦθα, καὶ δὴ ἐν τῷ θαύματι τούτῳ, ἡ λέξις *ἑπτάπηχυς* οὐδὲν ἄλλο οἷόν τ' ἔστι δύνασθαι ἢ τὸν ὑπερμεγέθη [2]. Σάμιοι ἀνατιθέασιν (*Ἡροδ.* Δ' 152) εἰς τὸ Ἥραιον κρατῆρα «ὑποστήσαντες αὐτῷ τρεῖς χαλκέους κολοσσοὺς *ἑπταπήχεας*, τοῖσι γούνασι ἐρηρεισμένους». Ὁμοίως Αἰγινῆται ἀνατιθέασι τῷ Ἰσθμίῳ θεῷ «*ἑπτάπηχυν* χάλκεον» ἀνδριάντα. Ὡς ἐν παρέργῳ δὲ μνημονευτέον τὸ ἐν τῇ περιλαλήτῳ δεκάτῃ τρίτῃ ἐπιστολῇ τοῦ *Πλάτωνος* λεγόμενον· εἰσηγεῖται οὗτος τῷ Διονυσίῳ «ταῖς Κέβητος θυγατράσι χιτώνια τρία *ἑπταπήχη*» ἀποστεῖλαι (363α)· λογιζομένοις δ' ἡμῖν τὸ μῆκος τοῦ πήχεως παρὰ τοῖς παλαιοῖς οὐχ οἷόν τ' ἐστι ἐνταῦθα ἄλλως ἢ κατὰ λέξιν ἑρμηνεῦσαι τὸ προκείμενον χωρίον. Ὁ μισογύνης παρὰ Μενάνδρῳ (Ἀποσπ. ἐκδ. Dübner σελ. 33) λέγει ὅτι «ἐθύομεν δὲ πεντάκις τῆς ἡμέρας | *ἐκυμβάλιζον δ' ἑπτὰ θεράπαιναι κύκλῳ* | αἱ δ' ὠλόλυζον» (*κἀνωλόλυζον*, Κοραῆς) Ὁ χορὸς ἐν τοῖς Βατράχοις (417) τοῦ *Ἀριστοφάνους* σκώπτει τὸν Ἀρχέδη-

---

ἑπτὰ ἡμέρας ἐπικρατεῖ «κατὰ τὴν τοῦ Μαρτίου μηνὸς εἰκάδα πέμπτην, ἡνίκα κατὰ τοὺς πολλοὺς τὴν ἀρχὴν τὸ ἔαρ παραλαμβάνει, τηνικαῦτα καὶ *ὁ καιρὸς ὁ παρὰ τῆς κοινῆς σ νηθείας Παχνίτης καλούμενος* τοῦ εἶναι ἀπάρχεται καὶ μέχρι τῶν ἑπτὰ ἡμερῶν ἐπικρατεῖ. Παχνίτης δὲ λέγεται διὰ τὸ ὡς ἐπὶ τὸ πλεῖστον ὁμιχλώδης εἶναι καὶ πολλὴν ἐμποιεῖν τὴν πάχνην». Ἴσως δ' ὅμως τοῦτο καὶ πρὸς τὴν ἑβδομάδα, τὸ τέταρτον τοῦ μηνός, ἀναφορὰν ἔχει. Πρβλ. καὶ κατωτέρω τὰ περὶ τοῦ *ἑπταγάληνα* λεγόμενα.

[1]) Πρβλ. καὶ Ovid. Μεταμ. Θ' 292.

[2]) Πρβλ. τὸ περὶ τῶν υἱῶν τοῦ Ἀλωέως παρ' *Ὁμήρῳ* (Ὀδ. λ, 311) λεγόμενον ὅτι ἦσαν «ἐννεαπήχεες». Τοῖς ἀνωτέρω που περὶ τῶν γενομένων ἑπταμήνων θεῶν εἰρημένοις πρόσθες καὶ τὸ παρ' Ἡροδ. ΣΤ' 68 φερόμενον ὅτι ἡ μήτηρ τοῦ Βασιλέως τῆς Σπάρτης Δημαράτου ἀναγκασθεῖσα τοῦ υἱοῦ καθικετεύοντος τὴν ἀλήθειαν εἰπεῖν ὅστις ἦν ὀρθῷ λόγῳ ὁ πατὴρ αὐτοῦ, ὁμολογεῖ αὐτὸν *ἑπτάμηνον* τεκεῖν συνευνηθεῖσα Ἀστραβάκῳ τῷ ἥρῳ «φάσματι εἰδόμενον Ἀρίστωνι» ὃς εἴτ' ἔμαθεν ὡς θεῖον εἴη τὸ πρᾶγμα,

μον «ὃς *ἑπτέτης* ὢν οὐκ ἔφυσε φράτορας» [1]. Τῷ ***Πλάτωνι*** αἴσθησιν παρέχει (Ἀλκ. 121, Ε) ὅτι οἱ τῶν ἐπισήμων Περσῶν παῖδες «ἐπειδὰν *ἑπτέτεις* γένωνται ἐπὶ τοὺς ἵππους καὶ ἐπὶ τοὺς τούτων διδασκάλους φοιτῶσι, καὶ ἐπὶ τὰς θήρας ἄρχονται ἰέναι· *δὶς ἑπτὰ* δὲ γενόμενον ἐτῶν τὸν παῖδα παραλαμβάνουσιν οὓς ἐκεῖνοι (οἱ Πέρσαι) βασιλείους παιδαγωγοὺς ὀνομάζουσι»· ὁ αὐτὸς δὲ ἐν τῇ Πολιτείᾳ (Ι΄ 616, β) λέγει τοὺς ἐν τῷ ἐν Ἅδου λειμῶνι δικαίους *ἑπτὰ ἡμέρας* ἐν αὐτῷ μένειν τῇ δὲ ὀγδόῃ δεῖν ἀναστάντας ἐντεῦθεν πορεύεσθαι [2]. Πλεισταχοῦ δὲ καὶ *Πρόκλος ὁ Διάδοχος*, ὁ μακρολόγος τῆς Πολιτείας καὶ τοῦ Τιμαίου καὶ ἄλλων τοῦ Πλάτωνος διαλόγων ἐξηγητής, ὁρμώμενος ἐκ τῶν παρὰ Πλάτωνι περὶ τῆς ἑπτάδος λεγομένων εἰς μακρὰν λόγου ἐκβολὴν τὰ τοῦ ἀριθμοῦ ἑπτά, ὡς καὶ ἄλλων ἀριθμῶν, σημειοῦται, μάλιστα δ᾽ ἰδίᾳ ἐν ἀναφορᾷ αὐτοῦ πρὸς τὴν ψυχήν. Αὐτίκα εἰς Πλάτ. Τίμ. 35, β: τόμ. II σελ. 202-203 ἐκδ. Diehl, πάλιν οὖν (σημειοῦται) ἡ ἑβδομὰς τῶν λόγων συμβαίνει τῇ ἑβδομάδι τῶν μοιρῶν, καὶ ὅλη δι᾽ ὅλης ἑαυτῆς ἡ ψυχὴ ἑβδομαδική ἐστιν, ἐν ταῖς μοίραις, ἐν τοῖς λόγοις, ἐν τοῖς κύκλοις, *ἑπταμερὴς* οὖσα καὶ *ἑπτάλογος* καὶ *ἑπτάκυκλος*· εἰ γὰρ μονάς ἐστιν ὁ δημιουργικὸς νοῦς, ἡ δὲ ψυχὴ πρώτως ἀπὸ τοῦ πρόεισιν, ἑβδομάδος λόγον ἔχει πρὸς αὐτόν· πατρικὴ γὰρ καὶ ἀμήτωρ ἡ ἑβδομάς. (Πρβλ. καὶ ἕ. ἀν. σελ.

[1]) Ὑπαινιγμός τοῦτό ἐστιν ἀντὶ *φραστῆρας ὀδόντας*· ἄλλως γνώμονας (ἴδ. Σχολ. Ἀριστοφ. καὶ Σουΐδ. ἐν λ. *ἑπτέτης*) πρβλ. καὶ «ἀκμὴν *ἑπταέτης* ὢν οὐκ ἀνέφυσεν ὀδόντας» (*A. Schott*, Adagia graecorum σελ. 580). Περὶ τῆς δυνάμεως ἣν ὁ ἀριθμὸς *ἑπτὰ* ἐπὶ τὴν πρώτην ἢ παιδικὴν ἡλικίαν ἔχει ἴδ. ἂν *Παυσ.* Ἀττ. 27 (Θησεὺς ἕβδομον μάλιστα γεγονὸς ἔτος), ***Πλουτ.*** Λυκ. 16 καὶ *Ἀριστοφ.* Λυσιστρ. 641 *ἑπτὰ* μὲν ***ἔτη γεγῶσ᾽*** εὐθὺς ἠρρηφόρουν· καὶ παρὰ ***Λουκ.*** Χάρ. 17 (Α΄ 514) ἡ ἀπώλεια ἑπτέτους παιδὸς λυπηροτάτη ὑπολαμβάνεται «ὁ χαίρων ὅτι ἄρρενα παῖδα τέτοκεν αὐτῷ ἡ γυνὴ καὶ τοὺς φίλους διὰ τοῦτο ἑστιῶν καὶ τοὔνομα τοῦ παιδὸς τιθέμενος, εἰ ἠπίστατο ὡς ***ἑπτέτης*** γενόμενος ὁ παῖς τεθνήξεται, ἆρα ἂν σοι δοκεῖ χαίρειν ἐπ᾽ αὐτῷ γεννωμένῳ;». Πρβλ. καὶ *Senec.* de benef. VII, 1 Licet nescias, quae ratio oceanum effundat ac revocet, quare *septimus* quisque *annus aetati signum imprimat*.

[2]) Ἴδ. καὶ τὰ περὶ τοῦ ἑβδόμου «τοῦ λαμπροτάτου» σφονδύλου τοῦ ἀτράκτου μυθευόμενα ἐν 616, e καὶ πρβλ. *Μαξίμ. Τυρ.* Δ΄ 4 «οὔτε (ἡγητέον ἐντετυχηκέναι Πλάτωνα) ἑλιττομένῳ τῷ ἀτράκτῳ *ἑπτὰ* καὶ διαφόρους ἑλιγμούς». Σημείωσαι δ᾽ ὅτι ἐν τῷ Τιμαίῳ ὁ Πλάτων ἐκ τοῦ ἱεροῦ ἀριθμοῦ ἑπτὰ ὁρμᾶται ἐν τῇ συνθέσει τῆς τοῦ σύμπαντος ψυχῆς 34, α κ. ἀλλ. περὶ ὧν καὶ ἀνωτέρω εἴρηται.

221, 10 ἑξ. 266, 8. 267, 14 ἑξ. κτλ.) καὶ πάλιν 36, d. (τόμ. Β' σελ. 270 ἐκδ. Diehl) ἐπάγεται «τὴν εἰς ἓξ διαίρεσιν οἰκειοτάτην εἶναι τῇ ψυχῇ φήσομεν· ἔστι γὰρ ἑξάς, ὡς μὲν τῶν Πυθαγορείων λόγος, ἀνὰ λόγον ταττόντων σημείῳ μὲν μονάδα, γραμμῇ δὲ δυάδα, τῷ δὲ ἐπιπέδῳ τριάδα, τῷ δὲ σώματι τετράδα, τῷ δὲ πεποιωμένῳ τὴν πεντάδα, τῷ δὲ ἐψυχωμένῳ τὴν ἑξάδα, τῷ δὲ νοερῷ τὴν ἑπτάδα· **τὸν** δὲ τῶν *ἑπτὰ κύκλων ἀριθμὸν* πῶς οὐκ οἰκεῖον εἶναι τῇ ψυχῇ φήσομεν, ἀπὸ τῆς ζῳογόνου παρηγμένῃ θεᾶς, ἣ καὶ μονὰς ἦν καὶ δυὰς καὶ ἑπτάς, περιέχουσα πάσας ἐν ἑαυτῇ τὰς Τιτανίδας; ἔτι δὲ καὶ κατ' ἄλλον τρόπον· ἡ γὰρ *ἑπτὰς καιροφυής* ἐστιν ἀριθμὸς καὶ τελεσιουργὸς τῶν περιόδων καὶ ἀποκαταστατικός. *οἰκείως οὖν ἔχει καὶ ταύτῃ πρὸς τὴν ψυχὴν* τὴν πάντα παράγουσαν καὶ κατευθύνουσαν ταῖς ἑαυτῆς κινήσεσιν». Τοῦ λόγου δ' ὄντος περὶ κινήσεων μνημονεύει ἀλλαχοῦ (ἔ. ἀν. 34, α: II, 94 Diehl) ὅτι *ἑπτά εἰσιν αἱ* τοπικαὶ *κινήσεις*, ἡ κύκλῳ, ἡ ἄνω, ἡ κάτω, ἡ ἐπὶ τὸ δεξιόν, ἡ ἐπὶ τὸ ἀριστερόν, ἡ ἐπὶ τὸ πρόσω, καὶ ἡ ἐπὶ τὸ ὀπίσω. Καὶ πάλιν ἔνθ. ἀν. 35 Β (II, σελ. 197 Diehl) λέγει καὶ περὶ τοῦ συμβόλου Ἀπολλωνιακῆς τάξεως, τῆς ἑβδομάδος: «καὶ γὰρ *ὁ ἀριθμὸς* κοινός ἐστιν ἀμφοτέροις (Ἀπόλλωνι καὶ Διονύσῳ) *ἡ ἑβδομάς*, ἐπεὶ καὶ τὸν Διόνυσον οἱ θεολόγοι μεριζόμενον εἰς *ἑπτὰ* μερισθῆναι λέγουσι·

ἑπτὰ δὲ πάντα μέλη κούρου διεμοιρήσαντο

καὶ τῷ Ἀπόλλωνι τὴν ἑπτάδα ἀνεῖσαν, ὡς συνέχοντι πάσας τὰς συμφωνίας (....) καὶ *ἑβδομαγέταν* (ἴδ. ἀν.) ἐκάλουν τὸν θεὸν καὶ τὴν ἑβδόμην ἱερὰν ἔλεγον τοῦ θεοῦ

τῇ γὰρ Ἀπόλλωνι χρυσάορα γείνατο Λητώ,

καθάπερ τὴν ἕκτην Ἀρτέμιδος».

Ὁ **Κικέρων** γράφων πρὸς τὸν Ἀττικὸν (VI, 5, 2) καλεῖ τὴν Ῥώμην *ἄστυ ἑπτάλοφον* [1] (πρβλ. καὶ Παλατ. Ἀνθολ. ΙΔ' 121, 1,

[1]) Πρβλ. καὶ Ὁρατ. ἑκατ. ᾠδ. 7 (dis, quibus *septem* placuerre colles). Ἡ πόλις Ῥώμη γνωστὸν ὅτι ἐκαλεῖτο *ἑπτάλοφος* (Παλατ. Ἀνθολ. ΙΕ' 121) καὶ βραδύτερον ὅτε ἐκταθεῖσα περιέλαβε καὶ ἄλλους λόφους· ἴδε *H. Kiepert* καὶ *C. Huelsen*. Formae Urbis Romae antiquae. ἐκδ. Β' ἐν Βερολίνῳ 1912 καὶ τὴν κρίσιν περὶ τοῦ βιβλίου, καὶ περὶ τοῦ Septimontium-Σεπτομούντιον (*Πλουτάρχ.* Ῥωμαϊκῶν 69: Ἠθ. 280 c.) τοῦ *ἑπταλόφου ἄστεως* τοῦ *P. Graffunder* ἐν

καὶ *Σιβυλλιακ.* Χρησμῶν Β' 18. ΙΔ' 108), ὑπὸ πολλῶν δ' ἀποδίδοται τῷ ποταμῷ Νείλῳ τὸ ἐπίθετον *ἑπτάρρους* (ἑπτάρροος) ἑπτάρους, ἴδε *Αἰσχύλ.* ἀποσπ. 290 Dind. (293 Nauck, καὶ τὴν αὐτόθι σημείωσιν) καὶ πρβλ. Σιβυλλιακῶν χρησμῶν Ζ' 19 ἦν Νεῖλος νηκτοῖς ὑπὸ χεύμασιν *ἑπτὰ* μεθύσκει. ΙΑ' 255 Νείλου | ἑπταπόροις στομάτεσσιν ἐπερχομένοις θαλάσσης. Σημείωσαι δ' ὅτι προσφυῶς πάνυ καὶ *πολύστομος* ὁ Νεῖλος παρὰ *Νικάνδρῳ* (Θηρ. 175 «μελαινομένην ὑπὸ βώλῳ | Αἰθιόπων οἵην τε *πολύστομος* εἰς ἅλα *Νεῖλος* | πλησάμενος κατέχευεν ἄσιν») καλεῖται [1].

Berl. Ph. W. 1913 στήλ. 977 ἑξ. Περὶ τοῦ Septizonium-Septizodium ἴδε καὶ E. Schürer, ἐν Zeitschr. für neut. Wiss. ΣΤ' (1905) σελ. 29 ἑξ. καὶ 63 ἑξ. ἴδε καὶ ἐν τῇ προκειμένῃ πραγματείᾳ κατωτέρω. *Septimontium* ἦν καὶ ἑορτὴ ἐν Ῥώμῃ ἐπὶ τῇ περιλήψει τῶν ἑπτὰ λόφων ἐν τοῖς τείχεσι τῆς πόλεως. Ἴδ. τὰς πηγὰς παρὰ *Daremberg* καὶ *Saglio,* Dictionnaire des antiquités τόμ. Δ' σελ. 1208. Μνημονευτέον καὶ τοῦ *Σεπτεμπαγίου - Ἑπταμορίου* (*Πλουτ.* Ῥωμύλ. 25), χώρας πολλῆς ἣν οἱ κάτοικοι τῆς Φιδήνης ἐκ τῆς ἑαυτῶν τῷ νικητῇ Ῥωμύλῳ προεῖντο. (Ἀντὶ *ἑπταμόριον* εἰκάζεται *ἑπταόριον* ἐκ παλ. Λεξικογράφων). Καὶ τὰ Ἀγβάτανα δέ, (τὰ βραδύτερον Ἐκβάτανα) ἡ τοῖς πλανήταις ἀφιερωμένη πόλις, περιείχοντο ἐν μεγάλοις καὶ καρτεροῖς τείχεσι καθ' *Ἡρόδοτον* (Α' 98) «ἕτερον ἑτέρῳ κύκλῳ ἐνεστεῶτα» (...) «*κύκλων* δὲ ἐόντων τῶν συναπάντων *ἑπτά*, ἐν τῷ τελευταίῳ τὰ βασιλήια ἔνεστι καὶ οἱ θησαυροί». Ἡμῖν δὲ πᾶσι γνωστότερον ὅτι καὶ ἡ *Κωνσταντινούπολις* οὕτως ἐκλήθη ἐν τοῖς μετὰ ταῦτα χρόνοις. *Νικήτ. Χων.* β. Ἀλεξ. 8· «την *ἑπτάλοφον* καὶ λαμπρὰν ταύτην (εἰσιὼν) μεγαλόπολιν». *Μαρ. Τζαν.* Κρητ. πολεμ. σελ. 557. 8 (Ξηρουχ.) «καὶ μένω 'ς τὴν *ἑπτάλοφο* καὶ δοξασμένη Πόλι». Ἴδε *Λουκαγγίου* Χριστ. Κωνσταντινούπολις Ι, 8 (σελ. 37) καὶ Γλωσσάρ. ἐν λ. *πόλις*. καὶ *Σκ. Βυζαντίου,* Κωνσταντινούπολις Ι, σελ. 6, πρβλ. καὶ *Drerup* ἐν Lit. Zentralblatt 1906, στηλ. 1802. Πλὴν δὲ τῶν ἀρχαίων Θηβῶν (ἴδ. ἀνωτ.) ἑπτάλοφοι ἐνομίζοντο ἐν τοῖς νεωτέροις χρόνοις ἥ τε καταστραφεῖσα Βενδικὴ πόλις Rhetra. καὶ ἡ Νυρεμβέργη, καὶ ἡ πόλις Bavais.

[1]) Ἡ γραφὴ τῶν πλείστων χειρογράφων *πολύστονος* περιέχει νοῦν οὐχὶ ἁρμόζοντα πρὸς τὸν Νεῖλον ποταμόν. Ἡ δ' ἑρμηνείας ἀπόπειρα τοῦ Σχολιαστοῦ «ἐπεὶ μετὰ στόνου καὶ ἤχου ῥέει» ἐκ τῆς ἐφθαρμένης γραφῆς ἐξαχθεῖσα οὐδ' αὐτῷ ἤρκεσεν, ἐπαγομένῳ διὰ τοῦτο «εὕρηται δὲ καὶ *πολύστομος* ἐπειδὴ *ἑπτάστομος* ὁ Νεῖλός ἐστι κατὰ τὸν περιηγητὴν *Διονύσιον*», ἐν στίχῳ 226 «ἑπτὰ διὰ στομάτων εἱλιγμένος εἰς ἅλα πίπτει». ἔνθα ἴδε τὰ τῷ *Εὐσταθίῳ* σημειούμενα (σελ. 129 Bernh.) Septemfluus Nilus (Ovid. Μεταμ. I, 423 κτλ.) ὡς καὶ septemgeminus (Οὐεργιλ. Αἰν. VI. 801 «ein durftiger Versuh einer Uebersetzung von ἑπτάρρους, ἑπτάστομος» κατὰ τὸν Norden, β' ἔκδ. σελ. 325) καὶ septemplex (Ovid. Met. V, 187· οὕτω καὶ ὁ Ἴστρος ἐκαλεῖτο Ovid. Trist. II. 189) ὑπὸ τῶν Ῥωμαίων ὠνομάζετο.

Τίνι δ' ἡμῶν ἄγνωστος ὁ *ἑπτάπολις* *Ὅμηρος*[1], *καὶ οἱ ἑπτὰ ἐπὶ Θήβας*, *καὶ οἱ ἑπτὰ σοφοὶ* τῆς ἀρχαίας Ἑλλάδος (οἱ κατὰ Δικαίαρχον, παρὰ Διογ. Λαερτ. Α' 40 οὔτε σοφοὶ οὔτε φιλόσοφοι γεγονότες, συνετοὶ δέ τινες καὶ νομοθετικοί, οἷς ἀτέχνως ἑπταμερὴς χορὸς τοῦ Δελφικοῦ τῆς σοφίας θεοῦ ἀπείργαστο, καὶ τὰ *ἑπτὰ* αὐτῶν *ἀποφθέγματα*;[2] Πάντες δ' ἐθρύλουν τὰ *ἑπτὰ ἐπιφανέστατα* ἢ *κατονομαζόμενα* ἢ *μέγιστα ἔργα*, ἃ ἡμεῖς εἰώθαμεν «ἑπτὰ θαύματα» καλεῖν (*Διοδ.* Α' 63, Β' 11, ΙΗ' 4. Παλατ. Ἀνθολογ. 177, κτλ.)[3]. Παρὰ *Στράβωνι* (Η', 374) δ' εὑρίσκομεν τὰς *ἑπτὰ* πόλεις τῆς ἀμφικτιονίας τῆς Καλαυρείας[4]. Οὐδεὶς δ' ἂν διακριβολογεῖσθαι ἐνταῦθα περὶ τούτων βούλοιτο καὶ οὐκ ἂν μνείᾳ τινὶ ἁπλῇ ἀγαπήσειε τῶν *ἑπτὰ* ἀστέρων τῶν Ἄρκτων καὶ τῶν Πλειάδων καὶ Ὑάδων, φαινομένων κατά τινας ἀρχικῶν τῆς ἱερότητος τοῦ ἀριθμοῦ[5]. Ποιούμεθα

---

[1]) *Ἑπτάπολις* ἦν καὶ τῆς Αἰγύπτου τμῆμα (πρβλ. *Διον.* Περιηγ. 251).

[2]) Ἰδὲ *Roscher* ἐν Philologus Ξ' 367 καὶ *Κουρτίου-Λάμπρου*, Ἑλλ. Ἱστ. Β' σελ. 77-78 καὶ *Ueberweg-Praechter*, Gesch. des Philosophie, Das Altertum, ἐν Βερολίνῳ, 1920, σελ. 36 καὶ πάντων μάλιστα *H. Diels*, Vorsokratiker II, I[3] σελ. 213 (73α) ἔνθα καὶ τὰ χωρία τῶν παλαιῶν συγγραφέων, πρβλ. καὶ *M. Wundt* Gesch. d. Griech. Ethik, I ἐν Λιψίᾳ, 1908, σελ. 75 ἑξ. Ἰστέον δ' ὅτι κατὰ τοὺς ἑπτὰ τούτους σοφοὺς ὅ τε ἀριθμὸς τῶν ἑπτὰ φιλοσόφων ἐν τῷ ἑλληνικῷ Συντίπᾳ ἐπινενόηται (Fabulae romanenses rec. *A. Eberhard* I, ἐν Λιψίᾳ, 1872, σελ. 1 πρβλ. καὶ σελ. 65,22), καὶ οἱ ἑπτὰ σοφοὶ τῆς αὐλῆς τοῦ Κύρου, καὶ οἱ ἑπτὰ Ἀθηναῖοι φιλόσοφοι, οἱ εἰς Κωνσταντινούπολιν τῇ Ἀθηναΐδι, τῇ μετὰ ταῦτα Αἰλίᾳ Εὐδοκίᾳ, τῇ θυγατρὶ Λεοντίου καὶ συζύγῳ γενομένῃ τοῦ ἀλογίστου καὶ «καλλιγράφου» (!) Θεοδοσίου Β' ἀκολουθήσαντες, καὶ οἱ ἑπτὰ φιλόσοφοι οἱ καταφυγόντες εἰς Περσίαν καταλυθείσης τῆς ἐν Ἀθήναις φιλοσοφικῆς σχολῆς. Πρβλ. περὶ τῶν ἑπτὰ σοφῶν καὶ *Wilamowitz*, Hermes 25 (1890) σελ. 198 ἑξ. καὶ *Roscher*, Hipp. Schrift σελ. 33 καὶ *Christ-X. Κώνστα*, Ἑλλ. Γραμματολ. Α' 235 καὶ *Christ-Πολίτου* Β' 351. Μνείας ἄξια καὶ τὰ ὑπὸ τῆς Φιλοσοφίας παρὰ τῷ *Λουκιανῷ* (Δραπέτ. 9) λεγόμενα περὶ τῶν ἑπτὰ μαθητῶν καὶ ἑταίρων («οἱ ἑπτὰ σοφοὶ») οὓς αὐτὴ προσηγάγετο· ἰδὲ Σχόλια Λουκιανοῦ Rabe σελ. 222,12 καὶ *Σ. Κουγέα*, ὁ Ἀρέθας σελ. 54 σημ. 2.

[3]) Πρβλ. *H. Schott*, de septem spectaculis. Ansbach 1891. *Roscher*, Enneadische σελ. 145.

[4]) Πρβλ. καὶ *Hiller von Gaertringen*, Beiträge zur alt. Gesch. I (1901) σελ. 214 καὶ *Κουρτίου-Λάμπρου*, Ἑλλ. Ἱστορ. Α' σελ. 369 (πρβλ. καὶ σελ. 137).

[5]) Παρασημειούμεθα τὰ ὑπὸ *Φίλωνος* ἐν τῷ περὶ τῆς κατὰ Μωυσ. Κοσμοπ. 114 Cohn (28 M.) λεγόμενα περὶ τῆς ἄρκτου καὶ τῶν πλειάδων: «*ἄρκτος* γέ μήν, ἣν φασι πλωτήρων εἶναι προπομπόν, *ἐξ ἑπτὰ ἀστέρων* συνέστηκεν· εἰς ἣν ἀφορῶντες κυβερνῆται τὰς ἐν θαλάττῃ μυρίας ὁδοὺς ἀνέτεμον ἀπίστῳ πράγματι καὶ μείζονι ἢ

δὲ ὁμοίως ἁπλῆν μνείαν καὶ τῶν Ἑσπερίδων καὶ τῶν Τιτάνων καὶ Κυκλώπων καὶ τῶν Ἀλκυονίδων ἡμερῶν (κατὰ Δημαγόραν τὸν Σάμιον ἴδε Ἀνεκδ. Βεκκ. Α΄ 377. καὶ *Roscher*, Fristen σελ. 44, σημ. 143 καὶ Siebenzahl 39 ἑξ.) Ἡ φιλόσοφος τοῦ *Ἀριστοτέλους* διάνοια διαποροῦσα (καὶ τῶν Πυθαγορείων κατειρωνευομένη) λέγει περὶ τοῦ ἀριθμοῦ ἑπτὰ (μετὰ τὰ Φυσ. 1093 α 13) «*ἑπτὰ* μὲν φωνήεντα, ἑπτὰ δὲ χορδαὶ ἡ ἁρμονίαι, ἑπτὰ δὲ αἱ πλειάδες, ἐν ἑπτὰ δὲ ὀδόντας βάλλει ἔνιά γε, ἔνια δ' οὔ· ἑπτὰ δὲ οἱ ἐπὶ Θήβας, ἄρ' οὖν *ὅτι τοιοσδὶ ὁ ἀριθμὸς πέφυκεν, διὰ τοῦτο* ἢ ἐκεῖνοι ἐγένοντο ἑπτὰ ἢ ἡ πλειὰς ἑπτὰ ἀστέρων ἐστίν; ἢ οἱ μὲν διὰ τὰς πύλας ἢ ἄλλην τινὰ αἰτίαν, τὴν δὲ ἡμεῖς οὕτως ἀριθμοῦμεν; τὴν δὲ ἄρκτον γε δώδεκα, οἱ δὲ πλείους» [1].

Καὶ τί δεῖ μακρὰν μνείαν ποιεῖσθαι τῶν Νιοβιδῶν καὶ τῶν *ἑπτὰ*

κατα φύσιν ἀνθρωπίνην ἐπιθέμενοι (- - -) πρὸς δὲ τοῖς εἰρημένοις καὶ *ὁ τῶν πλειάδων χορὸς ἀστέρων ἑβδομάδι* συμπεπλήρωται, ὧν αἱ ἐπιτολαὶ καὶ ἀποκρύψεις μεγάλων ἀγαθῶν αἴτιαι γίνονται πᾶσι». Αἱ πλειάδες δὲ εἶχον (ἀκριβῶς δὴ ὡς καὶ οἱ πλανῆται) «ἀρχαγγελικὰς δυνάμεις» κατὰ τὸν Πρόκλον (ἴδ. Τζέτζην εἰς Ἡσιοδ. Ἔργ. στίχ. 382, σελ. 248,12 ἐκδ. Gaisford). Περὶ τῶν Πλειάδων πρβλ. καὶ *Rehm*, Myth. Unt. σελ. 48. *Boll*, Sphaera σελ. 280.

[1]) Ὁ καὶ ἀνωτέρω μνημονευθεὶς *Συριανὸς* ὁ Ἀλεξανδρεὺς παρατηρεῖ εἰς ταῦτα τοῦ Ἀριστοτέλους ὅτι οἱ Πυθαγόρειοι τὴν ἑπτάδα ἐπαινοῦντές φασι τά τε φωνήεντα ἑπτὰ εἶναι δι' ὧν ἡ ἐγγράμματος ἀποτελεῖται φωνή, καὶ τοὺς φθόγγους τῆς διὰ πασῶν, ἔτι δὲ τὰς *Πλειάδας ἑπτά*, ἐν ἑπτὰ δὲ ἔτεσιν ὀδόντας βάλλειν τὰ ζῷα (οἷς ἐπιφωνεῖ—ὁ Ἀριστ.—πᾶσι κωμικῶς καὶ ἐλεγκτικῶς τὸ «ἔνιά γε ἔνια δ' οὔ») ἑπτὰ δὲ εἶναι τοὺς ἐπὶ Θήβας στρατεύσαντας. Εἶτα δείκνυσιν (ὁ Ἀριστοτέλης) ὅτι οὐδὲν τούτων διὰ τὸν ἑπτὰ ἀριθμὸν γίγνεται ἀλλά δι' ἄλλην αἰτίαν. Ἐπάγεται δὲ ὁ Συριανός: καὶ τῷ ὄντι γελοῖον ἢ τῶν Ἀργείων στρατηγῶν τὸν ἀριθμὸν τοῦτον αἰτιᾶσθαι ἢ τῆς *Πλειάδος*. Οὐδὲ γὰρ περὶ ταύτης θαρροῦντα ἔστιν εἰπεῖν ὅτι οὕτω συντέτακται δημιουργικῶς, *ἀλλὰ μᾶλλον ὅτι πᾶς ὁ καταστερισμὸς πολλῆς μετέχει θέσεως*. (Ἐκδ. Ἀριστοτ. Βερολ. Ἀκαδημ. Ε΄ σελ. 940). Περὶ τοῦ *ἑπτάστερον* ἴδε *Καλιτσουνάκι*-Mittel-und Neugriech. Erklärungen bei Eustathius ἐν Βερολίνῳ 1919, § 124 ἑξ. καὶ Γουλιέλμου *Gundel*, De stellarum appellatione et religione Romana, Giessen 1907 σελ. 187. Καὶ τῶν Ἀλκυονίδων δὲ ἡμερῶν κοινολεκτούμενον ἐν τῷ Βυζαντιακῷ Ἑλληνισμῷ ὄνομα ἦν «τὰ *Ἑπταγάληνα*» πρβλ. *Σπ. Λάμπρου* «Κείμενα ναυτικοῦ παρὰ τοῖς Βυζαντίνοις» ἐν Νέῳ Ἑλληνομνήμονι Θ 173 «καὶ μετ' αὐτὸ ἕτερον ἄστρον τοῦ Ἁγίου Δημητρίου καὶ γίνονται τὰ *Ἑπταγάληνα* τοῦ Νοεμβρίου μηνός, ὅτι καὶ ἡ ὄρνις ἡ καλουμένη ἀλκυὼν ἐπῳάζει παρὰ τὸ χεῖλος τῆς θαλάσσης. Καὶ μετὰ τὴν συμπλήρωσιν *τῶν ἑπτὰ ἡμερῶν* ἀπάρχεται τὸ μικρὸν λεγόμενον καλοκαίριον καὶ ἐπικρατεῖ μέχρι καὶ τοῦ Ἁγίου Φιλίππου».

κεφαλῶν τῆς τε Λερναίας Ὕδρας καὶ τοῦ Κερβέρου[1] καὶ αὐτοῦ τοῦ Ὄρθρου κατὰ *Τζέτζην* (εἰς Λυκ. 653); Ἑπτὰ δ' ἦσαν αἱ ἀρχικῶς ὑμνούμεναι νῆσοι (Εὐσταθ. Ὑπομν. εἰς *Διονύσ. Περιηγ.* σελ. 202,32 Bernhardy καὶ Στεφ. Βυζ. ἐν λ. *Εὔβοια* καὶ *Σικελία*, καὶ Σχολ. Ἀριστοφ. Ἀχαρν. 112 κτλ.) καὶ Ἄλεξις ὁ κωμικὸς παρετήρησε: τῶν ἑπτὰ νήσων, ἃς δέδειχεν ἡ φύσις | θνητοῖς μεγίστας, Σικελία μέν, ὡς λόγος, ἐστὶν μεγίστη, δευτέρα Σαρδώ, τρίτη | Κύρνος, τετάρτη δ' ἡ Διὸς Κρήτη τροφός, | Εὔβοια πέμπτη στενοφυής, ἕκτη Κύπρος, | Λέσβος δὲ τάξιν ἑβδόμην ἔχει. Ἴδ. Com. Gr. Fragm. ἐκδ. ὑπὸ Bothe, ἐν Παρισίοις 1855, σελ. 580 καὶ 517. Βραδύτερον ἠριθμοῦντο ὀκτὼ προστιθεμένης τῆς Πελοποννήσου ἢ Ῥόδου. Ὁμοίως *ἑπτὰ ἀνέμους* ἠρίθμουν («ἀπηλιώτην, βορέην, ἀρκτίαν, ζέφυρον, λίβα, νότον, εὖρον») *ἑπτὰ* πρὸς τούτοις *ὥρας*: ὧραι δ' ἐνιαύσιοι ἑπτά· εἰσὶ δ' αὗται σποράτος, χειμών, φυταλίαι, ἔαρ, θέρος, ὀπώρη, μετόπωρον (ἴδ. *Roscher*, Hipp. Schrift σελ. 7-8) καὶ τὰς καθ' Ἱπποκράτη *ἑπτὰ ἡλικίας* (παιδίον, παῖς, μειράκιον, νεανίσκος, ἀνήρ, πρεσβύτης, γέρων (πρβλ. ἀνωτ.) καὶ ἴδὲ *Roscher*, Hipp. Schrift σελ. 79 καὶ 118[2].

Ἐν Ῥώμῃ ἔχομεν τοὺς *ἑπτὰ ἄνδρας*[3] septemviri epulones, κτλ.). Σημειωτέον δ' ὅμως ὅτι ἐν Ῥώμῃ οὐχὶ πολλὰς ἐνδείξεις τῆς ἱερότητος τοῦ ἀριθμοῦ ἑπτὰ εὑρίσκομεν, τῶν Ῥωμαίων περὶ ἄλλα καὶ ἐν τῇ αὐτῶν γλώσσῃ σχολαζόντων, εἰ καὶ αὐτοῖς καταφανὴς ἦν ἡ παρ' ἄλλοις τοῦ ἀριθμοῦ ζήτησίς τε καὶ προτίμησις. Ἐν παρόδῳ δὲ παρατηρητέον ὅτι καὶ ἐν τῇ Βυζαντινῇ ἱστορίᾳ ἑπτὰ ἐφέ-

---

1) Ἰδὲ *Roscher*, Lex. d. Mythol. Β', στήλ. 1121-2. Καὶ περὶ τῶν Ὑάδων καὶ Πλειάδων Hipp. Schrift σελ. 74 ἑξ. Περὶ τῶν ἑπτὰ Νιοβιδῶν ἴδὲ *Α. Δ. Κεραμοπούλλου*, Θηβαϊκὰ (Ἀρχαιολ. Δελτ. πουργ. Ἐκκλ. καὶ Δημ. Ἐκπ. τόμ. γ') Ἀθήν. 1917 σελ. 370 καὶ 374, ἔνθα καὶ περὶ τῶν *ἑπτὰ πυρῶν* διείληπται.

2) Περὶ τῆς ξένης λατρείας τῶν *ἑπτὰ* τοῦ οὐρανοῦ *Τυχῶν* (καὶ *Πολοκρατόρων*) πρβλ *Roscher*, Siebenzahl σελ. 53. Παρὰ *Φωτίῳ*, Βιβλ. 38 α.(Bekk.) γίγνεται μνεία (ἐκ τῶν Περσικῶν τοῦ Κτησίου) καὶ βασιλεύοντος μάγου, τοῦ Σφενδαδάτου, καθ' οὗ ἑπτὰ τῶν Περσῶν ἐπίσημοι συνέθεντο ἀλλήλοις. Βοηθούντων δὲ καὶ δύο ἄλλων, τοῦ Ἀρτασύρα καὶ Βαγαπάτου, «κατακεντηθεὶς ὑπὸ τῶν *ἑπτὰ* ἀπέθανε, βασιλεύσας μῆνας *ἑπτ*». Πρβλ. περὶ τούτων *Roscher*, Enneadische σελ. 33.

3) *Δίων Κασσ.* ΜΓ', 51, 9. ΜΗ', 32, 7 κτλ. Περὶ τῶν septem residui ἴδὲ *C. Thulin*, Die Götter des Martianus Capella, Giessen, 1906 σελ. 64.

ροντο αἱ ἐπιφανεῖς αὐτοκράτειραι ἡ Πουλχερία τε καὶ ἡ Πλακιδία, καὶ ἡ Εὐδοξία καὶ ἡ Ὀνωρία καὶ ἡ Θεοδώρα καὶ ἡ Θεοφανὼ καὶ ἡ Ζωή. (Wiener Jahrb. 124 σελ. 29).

Καὶ ἐν τῇ *Ἁγίᾳ* δὲ *Γραφῇ* πλειστάκις τοῦ ἀριθμοῦ *ἑπτὰ* μνεία εὕρηται καὶ μάλα ἐπισήμου λογιζομένου ἐκ τῶν ἑπτά, ὡς ἔοικε, πλανητῶν. Τὴν γὰρ *ἑβδόμην* ἡμέραν τὸν Θεὸν τὴν δημιουργίαν ἀποτελέσαι παραδέδοται, καὶ ταύτης τῆς ἡμέρας τὸν ἀριθμὸν τέλειον νομισθῆναι πᾶς τις ἂν εὔλογον ἡγήσαιτο. Εἰκότως ἄρα τὸν ἑπτὰ ἀριθμὸν ἀμήτορα καὶ ἄγονον λογίζονται (οἱ Πυθαγόρειοι), λέγει *Κλήμης* ὁ Ἀλεξανδρεὺς (Στρωματ. ΣΤ' 16, 140) τὸ σάββατον ἑρμηνεύοντες καὶ τὸ τῆς ἀναπαύσεως εἶδος ἀλληγοροῦντες· καθ' ἣν «οὔτε γαμοῦσιν οὔτε γαμίσκονται ἔτι» [1].

---

[1]) Πρὸς μακρὰ δὲ καὶ ἐν πολλοῖς, φαίη ἄν τις, ἄκαιρα φιλοσοφήματα ἐκ παλαιῶν πηγῶν ἀρυόμενα καὶ πρὸς ἀριθμητικὰς κομψείας καὶ τερατολογίας ἀφορμὴν λαμβάνει ὁ *Ἰωάννης Φιλόπονος* τῶν εἰς τὴν Μωυσέως Κοσμογον. ἐξηγητικ. ἐκδ. Reichardt, ἐν Λιψίᾳ 1907, VII, 14 (σελ. 306):

Διὰ τί ἐν τῇ ἑβδόμῃ ἡμέρᾳ κατέπαυσεν ὁ Θεὸς ἀπὸ πάντων τῶν ἔργων αὐτοῦ;

«Οὐκ ἄλογον ἴσως (σημειοῦται) καὶ περὶ τοῦ ἀριθμοῦ τούτου βραχέα διελθεῖν, τίνος χάριν τῇ καταπαύσει τῶν ἔργων ἀποδέδοται τοῦ Θεοῦ. Φημὶ τοίνυν ὡς τῶν μέχρι τῆς δεκάδος ἀριθμῶν οἱ μὲν γεννῶσι τούτων τινὰς ἢ ἐφ' ἑαυτοὺς πολλαπλασιαζόμενοι ἢ ἐφ' ἑτέρους· ἐφ' ἑαυτοὺς μέν· ὁ μὲν δύο τὸν τέσσαρα — δὶς γὰρ τὰ δύο τέσσαρα — ὁ δὲ τρία τὸν ἐννέα — τρὶς γὰρ τὰ τρία ἐννέα — ἐφ' ἑτέρους δέ· ὁ μὲν δύο ἐπὶ τὸν τρία ποιεῖ τὸν ἕξ, ἐπὶ δὲ τὸν τέσσαρα τὸν ὀκτώ, ἐπὶ δὲ τὸν πέντε τὸν δέκα, οἱ δὲ γεννῶνται μὲν ἐξ ἑτέρων, ὡς οἱ εἰρημένοι, γεννῶσι δὲ ὅλως αὐτοὶ οὐδένα· μόνος δὲ ὁ ἑπτὰ οὔτε ἐξ ἑτέρων κατὰ πολυπλασιασμὸν ἐγεννήθη οὔτε ἕτερον ἐγέννησε καὶ ἔστι κατὰ τοῦτο μονήρης καὶ διὰ τοῦτο μόνος τῶν ἀριθμῶν ἠρεμίας ἐστὶ σύμβολον. Εὐλόγως οὖν ἀφώρισται μετὰ τὰς ἓξ τῶν ἔργων ἡμέρας τῇ καταπαύσει τῆς τοῦ κόσμου γενέσεως. Τοῦτο μὲν οὖν κομψεία τίς ἐστιν ἀριθμητική. Εἰ δὲ καὶ **δύναμιν** ἔχει τινὰ **φυσικὴν** οὗτος ὁ ἀριθμὸς *ἐν τοῖς πράγμασι*, λέγειν οὐκ ἔχω· ἐκεῖνο γε μὴν συμπεφώνηται πᾶσιν ἀνθρώποις ἑπτὰ μόνας εἶναι τὰς ἡμέρας, αἵτινες εἰς ἑαυτὰς ἀνακυκλούμεναι τὸν ὅλον ποιοῦσι χρόνον· τίνα οὖν τούτου λόγον εἰπεῖν ἕτερον, ἢ μόνον ὃν εἴρηκε Μωυσῆς; εἰ δὲ τοῖς ἑπτὰ *πλανωμένοις* τὰς ἑπτὰ τῆς ἑβδομάδος ἡμέρας ἀνατιθέασιν Ἕλληνες, τὴν πρώτην Ἡλίῳ, τὴν δευτέραν Σελήνῃ, τὴν τρίτην Ἄρει, τὴν τετάρτην Ἑρμῇ, τὴν πέμπτην Διί, τὴν ἕκτην Ἀφροδίτῃ, τὴν ἑβδόμην Κρόνῳ, πρῶτον μὲν αὐτῷ τούτῳ γιγνώσκουσιν ἑπτὰ μόνας εἶναι τὰς ἡμέρας, ἐξ ὧν ὁ χρόνος συνέστηκε, λόγον δέ τινα τῆς εἰρημένης τῶν ἡμερῶν τοῖς πλανωμένοις διανομῆς λέγειν οὐχ ἕξουσιν, ἢ διὰ τί εἰσιν ὅλως ἑπτὰ ἡμέραι αἱ ἀνακυκλούμεναι· διὰ τί γὰρ μὴ δώδεκα μᾶλλον διὰ τὴν εἰς δώδεκα τοῦ ζῳδιακοῦ τομήν, δι' ὧν ὁ ἥλιος φερόμενος ποιεῖ τὸν ἐνιαυτόν; ἀλλ' οὐδὲ ἐκ τῆς τῶν ἀπλανῶν κινή-

Ἐν τῇ *Παλαιᾷ Διαθήκῃ* μνημονεύεται πολλαχοῦ (π. χ. Ἰεζεκιὴλ 45, 22 23, ἰδίᾳ *Λευιτικ.* κεφ. ΙΒ' 2 ἑπτὰ ἡμέρας, 5 δὶς ἑπτὰ ἡμέρας κτλ.)[1]. Μνημονεύω χωρίων τινῶν χρησίμων τῷ ἡμετέρῳ σκοπῷ. Ἐν *Γενέσει* 4, 15 λέγεται «πᾶς ὁ ἀποκτείνας Κάϊν *ἑπτὰ* (=πολλὰ) ἐκδικούμενα παραλύσει» (ἰδ. κατωτέρω τὴν ἑρμην. τοῦ Χρυσοστόμου) καὶ *Ψαλμ.* 119, 164 ἔνθα τὸ «*ἑπτάκις* (τῆς ἡμέρας ᾔνεσά σε ἐπὶ τὰ κρίματα τῆς δικαιοσύνης σου») τῆς μεταφράσεως τῶν Ἑβδομήκοντα ἑρμηνεύουσιν ἄλλοι «πολλάκις»· ὁ Συμεὼν ἀρχιεπ. Θεσσαλ. Ἀποκρίσ. Migne Ἑλλ. Πατρολ. 155 στήλ. 937 σημειοῦται «τὸ *ἑπτάκις τῆς ἡμ. ᾔνεσά σε* τὸ πολλάκις δηλοῖ διαπαντὸς» καὶ κατὰ *Κλήμεντα* Ἀλεξ. (Στρωμ. Ζ' 7) συνεχῶς, τὸν ὅλον βίον τοῦτο πράττων καὶ κατὰ πάντα τρόπον. Ἰδ. καὶ ἀνωτ.[2], ἐν Παροιμ. δὲ Σολομ. 24,16 λέγεται ὅτι «*ἑπτάκις* πεσεῖται δίκαιος καὶ ἀναστήσεται, οἱ δὲ ἀσεβεῖς ἀσθενήσουσιν ἐν κακοῖς»[3].

σεως λόγον ἐστὶ δοῦναι τοῦ ἄλλην ἡμέραν ἄλλῳ τινὶ τούτων ἀνακεῖσθαι. Ἐοίκασιν οὖν οἱ Ἕλληνες, ὥσπερ τῶν ἀπλανῶν ἄστρων ἄλλοις ἄλλους θεῶν ἢ δαιμόνων ἢ ἡρώων, ὡς ἂν αὐτοὶ φαῖεν, ἀνέθηκαν λόγου παντὸς καὶ αἰτίας χωρὶς τοῖς ὀψὲ τοῦ χρόνου γενομένοις τὰ τῷ παντὶ συνυποστάντα, ὡς καὶ ἡ βαρβαρικὴ σφαῖρα δείκνυσιν ἑτέροις ὀνόμασί τε καὶ σχήμασι παρὰ τὰ Ἑλλήνων χρησαμένη, οὕτω καὶ ταῖς ἡμέρας ἑπτὰ πεπιστευμέναις ὑπὸ πάντων ὑπάρχειν, ἐπεὶ καὶ τὰ πλανώμενα ἰσάριθμα ταύταις εἶναι συμβέβηκε, κατ' ἐξουσίαν αὐτόνομον διανεῖμαι τούτοις τὰς ἡμέρας, ἢ τοὔμπαλιν, ὡς ἂν ἐθέλοιεν, ἐκεῖνα ταῖς ἰσαρίθμοις ἡμέραις. Τας δὲ γενεθλιαλογικὰς τερατολογίας ὡς ὕθλους γραῶν γυναιξὶν ἀποδιοπομπούμεθα κατὰ Πλάτωνα (Θεαιτ. 176, b. Κρατ. 396, d)· μόνος ἄρα τὴν αἰτίαν τοῦ ἑβδομαδικοῦ τῶν ἡμερῶν ἀριθμοῦ θεόθεν ἐμπνευσθεὶς ὁ μέγας τοῖς ἀνθρώποις ἀποδέδωκε Μωυσῆς».

[1]) Κατὰ τὴν Π. Δ. ὁ Θεὸς *ἡγίασε τὴν ἑβδόμην ἡμέραν* (1 Μωυσ. 2, 2 πρβλ. *Φίλων*. περὶ τῆς κατὰ Μωυσ. Κοσμοπ. § 89 (21 *Mang.*) «τὴν ἐπιοῦσαν ἡμέραν *ἑβδόμην* ἐσέμνυνεν ὁ πατὴρ ἐπαινέσας καὶ ἁγίαν προσειπών». Ἴδε καὶ *Φλ. Ἰωσήπου* κατὰ Ἀπίωνος Β' 89 καὶ *Κλημ.* Ἀλεξ. Στρωμ. ΣΤ' κεφ. 16, 137 τελ., καὶ *Θεοδοσ. Μελιτην.* Χρονογραφ. ἐκδ. Tafel σελ. 5 «Τίνος χάριν τὴν *ἑβδόμην ἡμέραν ηὐλόγησεν ὁ Θεὸς* καὶ οὐχὶ τὰς πάσας»· πρβλ. καὶ τὸ παλαιὸν ἐκεῖνο CIA 3, 74, 16 «ὁ δὲ θυσιάζων τῇ *ἑβδόμῃ* τὰ καθήκοντα πάντα ποιείτω τῷ θεῷ».

[2]) Τὸ δὲ τῆς *Γενέσεως* 33,3 «καὶ προσεκύνησε (ὁ Ἰακὼβ) ἐπὶ τὴν γῆν **ἑπτάκις**, ἕως τοῦ ἐγγίσαι τῷ ἀδελφῷ αὐτοῦ (Ἠσαῦ)» ὁ μὲν *Delitsch* ἡρμήνευσε «εἰς ὑπερβολὴν εὐπροσήγορος» (überschwenglich höflich) ὁ δὲ *Dillmann* «ἐν ἐσχάτῃ ταπεινοφροσύνῃ» in äusserster Unterwürfigkeit (ἰδ. *E. Nestle*, Marginalien und Materialien, ἐν Τυβίγγῃ 1893, σελ. 11).

[3]) Πρβλ. καὶ *Ἱππολύτου* ἔλεγχον σελίδ. 84, 10 (ἐκδ. Wendland): καὶ τοῦτό ἐστι τὸ εἰρημένον, φησίν, ἐν τῇ Γραφῇ «ἑπτάκις πεσεῖται ὁ δίκαιος καὶ ἀναστήσε-

Καὶ ἐν τῇ *Νέᾳ* δὲ *Διαθήκῃ* πλειστάκις μνημονεύεται ὁ ἀριθμὸς *ἑπτά*, μάλιστα δὲ πάντων ἐν τῇ Ἀποκαλύψει, τῇ ἐν μέρει ἐξ ἑβραϊκῶν παραδόσεων ἀρυτομένῃ, παραδόσεων δῆλα δὴ ἀναφερομένων εἰς βαβυλωνιακὰ διδάγματα[1]. Πρβλ. *Ματθ.* 15,34: «λέγει αὐτοῖς ὁ Ἰησοῦς πόσους ἄρτους ἔχετε; οἱ δὲ εἶπον *ἑπτά*, καὶ ὀλίγα ἰχθύδια». πρβλ. καὶ 22,25. *Μάρκ.* 12,20. 16,9 ὁ Ἰησοῦς ἀναστὰς πρωῒ πρώτῃ σαββάτου ἐφάνη πρῶτον Μαρίᾳ τῇ Μαγδαληνῇ, ἀφ' ἧς ἐκβεβλήκει *ἑπτὰ δαιμόνια*. *Λουκ.* 17,4: «ἐὰν *ἑπτάκις* τῆς ἡμέρας ἁμάρτῃ εἰς σὲ ὁ ἀδελφός σου καὶ *ἑπτάκις* τῆς ἡμέρας ἐπιστρέψῃ ἐπὶ σέ, λέγων, μετανοῶ, ἀφήσεις αὐτῷ»[2]. Ἐν τῷ κατὰ *Λουκᾶν* Εὐαγγελίῳ 18, 30 φέρεται «ὃς οὐχὶ μὴ ἀπολάβῃ *ἑπταπλασίονα* ἐν τῷ καιρῷ τούτῳ», ἀντὶ δὲ τοῦ *ἑπταπλασίονα* ἀναγιγνώσκεται καὶ *πολλαπλασίονα*[3]. ἰδὲ καὶ *Ἀποκαλύψ.* Α' 4, 12, 20: «τὸ μυστήριον τῶν ἑπτὰ ἀστέρων, οὓς εἶδες ἐν τῇ δεξιᾷ μου, καὶ τὰς ἑπτὰ λυχνίας

ται» αὗται γὰρ αἱ πτώσεις φησίν, *αἱ τῶν ἄστρων μεταβολαὶ* ὑπὸ τοῦ πάντα κινοῦντος κινούμεναι. Καὶ ὁ Δανιὴλ δὲ παρεδόθη «ἑπτὰ λέουσι» (Μ. Γλυκ. σελ. 375 ἐκδ Βόννης). Σημείωσαι δ' ἐνταῦθα ὅτι καὶ ὁ ἅγιος Ἱερώνυμος περὶ τοῦ ἀριθμοῦ ἑπτὰ τάδε σημειοῦται: (Ἰὼβ σελ. 760 Α) «Ipse enim septenarius numerus septiformas spiritus gratias in se demonstrat, quae in hoc micant ipsique gratiarum spiritus in eodem firmamento caeli sunt fulgentes. Igitur stellae per prophetam septem oculi Domini appellantur».

[1]) Πρβλ. περὶ τούτου *Ἀνδρέαν* ἀρχ. Καισαρ. Ἑρμην. εἰς τὴν ἀποκάλυψ. Migne PG 106 στήλ. 256 καὶ Ἀρέθαν ἐν τῷ αὐτῷ τόμῳ στήλ. 569. 576 *Hammer-Purgstall* ἐν Wiener Jahrbücher der Literatur τόμ. 123 (1848), σελ. 52 ἑξ. καὶ *E Schürer* ἐν Zeitschr. für neutest. Wiss. VI (1905) σελ. 20 ἑξ. καὶ *Jos. Sauer*, Symbolik des christl. Kirchengebäudes σελ. 75 ἑξ.

[2]) Πρβλ. καὶ *Ματθ.* 18,22: «Κύριε, ποσάκις ἁμαρτήσει εἰς ἐμὲ ὁ ἀδελφός μου καὶ ἀφήσω αὐτῷ; ἕως *ἑπτάκις*; λέγει αὐτῷ ὁ Ἰησοῦς οὐ λέγω σοι ἕως ἑπτάκις, ἀλλ' ἕως *ἑβδομηκοντάκις ἑπτά*» ἔνθα τὸ ἑβδομηκοντάκις οὐδὲν ἄλλο δηλοῖ ἢ ἐπίτασιν τοῦ *ἑπτά*· οἱονεὶ 7:70+7=77.—Μνημονευθήτω δ' ἐν παρόδῳ καὶ ἡ τῶν Γάλλων ῥῆσις «il faut tourner *sept fois* sa langue dans sa bouche avant de parler» ἡ δηλοῦσα ὅτι δεῖ τινα καλῶς διανοεῖσθαι πρὶν λαλῆσαι.

[3]) Ἔγραψε δὲ καὶ ὁ Ὠριγένης (Ἐξηγητικὰ εἰς τὸ κατὰ Ἰωάννην Εὐαγγέλιον βιβλ. ΙΘ', 9 τόμ. 4ῳ (ἐν Λιψίᾳ 1903) σελ. 309 τῆς παρὰ Hinrichs ἐκδ. τῶν ἔργων τοῦ Ὠριγ.) «τῶν ἁγνῶν λόγων Κυρίου τῶν πεπυρωμένων καὶ *κεκαθαρισμένων ἑπταπλασίως* καὶ δοκίμων». Πρβλ. καὶ τὸ ᾆσμα *Κοσμᾶ τοῦ Μαϊουμᾶ* τὸ ἐν τῇ ἡμετέρᾳ Ἐκκλησίᾳ τῇ ἑσπέρᾳ τῆς Μ. Τρίτης ψαλλόμενον «Ῥῆμα τυράνου ἐπεὶ ὑπερίσχυσεν *ἑπταπλασίως* κάμινος ἐξεκαύθη ποτέ». (*Christ-Παρανίκα*, Anth Carm. Christ. σελ. 189).

τὰς χρυσᾶς. οἱ ἑπτὰ ἀστέρες ἄγγελοι τῶν ἑπτὰ ἐκκλησιῶν εἰσιν, καὶ αἱ λυχνίαι αἱ ἑπτὰ ἑπτὰ ἐκκλησίαι εἰσίν». Γ' 1. Ε' 1, 5, 6 [1]. ΣΤ' 1. Ι' 3. ΙΑ' 13 «ἀνθρώπων χιλιάδες *ἑπτὰ* (=πολλαὶ χιλιάδες) ΙΕ' 1, 6. ΙΖ' 3, κτλ.[2] Καὶ Συμεὼν δὲ ὁ Θεσσαλονίκης, ὁ τελευταῖος οὗτος πρόμαχος τῆς μυσταγωγικῆς θεολογίας, ἱερολογῶν περὶ τοῦ ἑπτὰ σημειοῦται (Περὶ τῶν μυστηρίων Κεφ. ΣΠΔ'): ὁ δὲ ἑπταδικὸς ἀρι-

---

[1]) Σημείωσαι τὸ χωρίον τοῦτο «τὰ *ἑπτὰ* πνεύματα τοῦ θεοῦ, τὰ ἀπεσταλμένα εἰς πᾶσαν τὴν γῆν».

[2]) Ἰδὲ πρὸς τοῦτο τὰ χωρία τῆς Κ. Δ. ἐν *Moulton-Geden*, A Concordance to the Greek Testament[2]. ἐν Ἐδιμβούργῳ σελ. 376, καὶ περὶ τοῦ ἱεροῦ τοῦ ἀριθ- ἑπτὰ ἐν *Büchner Heubner*. Exegetisch-homilet. Lexikon [22] σελ. 903, καὶ Λεξικὸν τῆς Ν. Δ ὑπὸ *Preuschen*, Giessen, 1910 σελ. 443 καὶ μάλιστα πάντων τὸ βιβλίον τοῦ *Otto Zöckler*, Die Tugendlehre des Christentums ge. schichtlich dargestellt in der Entwicklung ihrer Lehrformen, mit besonderer Rücksicht auf deren zahlensymbolische Einkleidung. Gütersloh, 1904, ἰδίᾳ ἐν σελ. 70, 102, 153, 157, 243, 289 κτλ. Καὶ νῦν δὲ ἡ Καθολικὴ Ἐκκλησια, πάντως δὴ ἐξ ἀστρολογικῶν τὸ πρῶτον αἰτίων ὁρμηθεῖσα, ἑπτὰ τὸν ἀριθμὸν μέγιστα ἁμαρτήματα ἀναγράφει (πρβλ. *Reitzenstein*, Poimandres σελ. 232). Περὶ τῶν ἑπτὰ ἁμαρτιῶν ἔγραψε πλὴν τοῦ Otto *Zöckler*, (Das Lehrstück von den Sieben Hauptsünden, ἐν Μονάχῳ 1893. τῶν Bibl. und Kirchenhistor Studien τρίτον τεῦχος) καὶ ἡ Μαρία *Gothein* ἐκτενεστέραν μελέτην ἐν τῷ Archiv für Religionswissenschaft τόμῳ 10τῳ (1907) σελ. 416-484. Ἐν τῇ μελέτῃ ταύτῃ πειρᾶται τά τε κατὰ τὰς ἑπτὰ ἁμαρτίας ἐπαινετῶς διασαφῆσαι, πρὸς δὲ καὶ τὴν ἐπὶ τὴν Λατινικὴν γραμματείαν τοῦ ἐξιόντος μέσου αἰῶνος ἐπίδρασιν αὐτῶν ὑποδεῖξαι. Τὰ θεολογικὰ συγγράμματα τῶν προηγουμένων χρόνων διέκρινον ἀκριβῶς ἀλλήλων τὰ vitia capitalia καὶ peccata mortalia. Τὰς ἑπτὰ ἁμαρτίας ἀνῆγον εἰς τὰ πρῶτα, αὗται δ' ἐνομίζοντο ἐν τοῖς μετὰ Θωμᾶν τον Ἀκυινάτην χρόνοις αἵδε: superbia, avaritia, luxuria, ira, gula, invidia καὶ acedia. Αἱ ἀρχαὶ τῆς Ὀρθοδόξου ἡμῶν Ἀνατολικῆς Ἐκκλησίας ἔχουσιν *ὀκτὼ* «ἁμαρτίας πρὸς θάνατον» κατὰ Α' Ἰωάνν. 5, 16 ἑξ. (ἰδ. Gothein σελ. 426 ἑξ.). Εὐάγριος ὁ Ποντικὸς ἔγραψε «περὶ τῶν *ὀκτὼ λογισμῶν*» καὶ ὁ Νεῖλος περὶ τῶν *ὀκτὼ πνευμάτων τῆς πονηρίας*· ταῦτα δ' ἐνομίζοντο ἥ τε γαστριμαργία καὶ πορνεία καὶ φιλαργυρία καὶ λύπη καὶ ὀργὴ καὶ ἀκηδία καὶ κενοδοξία καὶ τέλος δὴ ἡ ὑπερηφάνεια. Ὑπὲρ πάντα δὲ ἄλλον ἡ Ἑρμητικὴ φιλοσοφία συνέδεε σαφῶς καὶ ἑαυτῇ ἀκολούθως τοὺς πλανήτας πρὸς ἑπτὰ πονηρὰς ἰδιότητας αἳ ἐν τῇ ἀνθρωπίνῃ ψυχῇ ἐμφυτεύονται (ἰδὲ *Zielinski*, ἐν Philologus ΞΔ', 21 ἑξ. καὶ ἐν Süddeutsche Monatshefte 1905 τεύχει ια', καὶ πρβλ. *Reitzenstein*. Poimandres σελ. 52 ἑξ. 232, καὶ *Gothein* σελ. 421 σημ. 1.). Αἱ δ' *ἑπτὰ ἀρεταὶ* τῆς φιλοσοφίας ταύτης ἦσαν ἥ τε πίστις καὶ ἡ ἐγκράτεια καὶ ἡ ἁπλότης καὶ ἡ ἀκακία καὶ ἡ σεμνότης καὶ ἡ ἐπιστήμη καὶ ἡ ἀγάπη. Πρβλ. καὶ *von Andrian*, Mitteil der. Anthrop. Gesel. in Wien 1991 σελ. 269.

θμὸς ἀνάγεται ἐπὶ τὰ ἑπτὰ τοῦ Ἁγίου Πνεύματος χαρίσματα, περὶ ὧν Ἠσαΐας προηγόρευσεν ὁ προφήτης. Καὶ ἐπὶ τοὺς ἑπτὰ ἱερεῖς τοὺς τὴν Ἱεριχὼ ἑπτάκις περικυκλώσαντας», ἃ ὑπαινίσσονται, ὥς γ' ἐμοὶ φαίνεται, εἰς Φλαουΐου Ἰωσήπ. Ἀρχ. 5,27: Περιῇσαν δὲ πάλιν (οἱ Ἑβρ.) τὴν πόλιν (Ἱεριχ.) ἡγουμένης τῆς Κιβωτοῦ καὶ τῶν ἱερέων τοῖς κέρασιν ἐξοτρυνόντων τὴν δύναμιν πρὸς τοὔργον. καὶ περιελθόντων ἑπτάκις καὶ πρὸς ὀλίγον ἠρεμησάντων, κατέπεσε τὸ τεῖχος μήτε μηχανῆς μητ' ἄλλης βίας αὐτῷ προσενεχθείσης ὑπὸ τῶν Ἑβραίων. οἱ δ' εἰσελθόντες εἰς Ἱεριχοῦντα πάντας ἔκτεινον, τῶν ἐν αὐτῇ πρὸς τὴν παράδοξον τοῦ τείχους ἀνατροπὴν καταπεπληγότων, καὶ τοῦ φρονήματος αὐτοῖς πρὸς ἄμυναν ἀχρείου γεγονότος·

Ὀρθῶς δὲ καὶ κατ' ἐμὴν γνώμην ἡρμηνεύθησαν (χαίρειν δ' ἐῶμεν τὰς καὶ ἐμοὶ γνωστὰς πολλὰς καὶ σοφιστιώσας τῶν θεολόγων ἑρμηνείας) καὶ τὰ δύο ἐκεῖνα χωρία τῆς πρὸς Γαλάτας ἐπιστολῆς (Δ' 3 καὶ 8-9) τοῦ Παύλου, αἰνιττόμενα τὴν τῶν ἑπτὰ πλανητῶν (ἢ γενικώτερον τὴν τῶν οὐρανίων σωμάτων) πανίσχυρον δύναμιν, τὴν εἰς θρησκείαν που τῶν δεισιδαιμόνων κατὰ τοὺς χρόνους ἐκείνους ἀποβᾶσαν.

Λέγει τοίνυν ἐν τῷ πρώτῳ χωρίῳ ὁ Ἀπόστολος «οὕτω καὶ ἡμεῖς, ὅτε ἦμεν νήπιοι, *ὑπὸ τὰ στοιχεῖα τοῦ κόσμου ἦμεν δεδουλωμένοι*, ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ» καὶ ἐν τῷ δευτέρῳ «ἀλλὰ τότε μὲν οὐκ εἰδότες Θεὸν *ἐδουλεύσατε τοῖς μὴ φύσει οὖσι θεοῖς*, νῦν δὲ γνόντες Θεόν, μᾶλλον δὲ γνωσθέντες ὑπὸ Θεοῦ, πῶς ἐπιστρέφετε πάλιν ἐπὶ τὰ ἀσθενῆ καὶ πτωχὰ στοιχεῖα, οἷς πάλιν ἄνωθεν δουλεύειν ἐθέλετε;» [1]. Μνημονεύομεν τέλος καὶ τῶν ἁγίων ἑπτὰ παίδων οἳ κατὰ Φώτιον (Βιβλιοθ. σελ. 467, β Bekker), ἐφάνησαν ἀναβεβιωκότες «μετὰ ἔτη δύο καὶ ἑβδομήκοντα καὶ τριακόσια» [2].

---

[1]) Πρβλ. *A. Dieterich*, Abraxas σελ. 62. Παρὰ τοῖς Ἰουδαίοις ἐνίοτε τὰ στοιχεῖα ὡς πρόσωπα ἐξελαμβάνοντο καὶ ἐπροσωποποιοῦντο. Ἐλέγετο ἐπὶ παραδείγματος ὅτι τὸ ὕδωρ ἔγκυμον γενόμενον ἐγέννησε τὸ σκότος, τὸ δὲ πῦρ κυῆσαν ἐγέννησε τὸ φῶς, καὶ τέλος ὁ ἀὴρ ἔγκυος γενόμενος ἐγέννησε τὴν σοφίαν ἰδ. *Freudenthal*, Hell. Stud. I, 71.

[2]) Βραδύτερον παρατηρεῖται παρὰ τοῖς Χριστιανοῖς κλίσις τις ἵνα τὸν ἐθνικὸν

Ε΄. ΟΝΟΜΑΤΑ ΕΚ ΤΟΥ ΑΡΙΘΜΟΥ ΕΠΤΑ ΚΕΙΜΕΝΑ

Πολλὰ δὲ *ὀνόματα* ἔχομεν ἐν Ἑλλάδι τε καὶ ἔξω αὐτῆς ἐν οἷς ὁ ἀριθμὸς *ἑπτὰ* διὰ γνωστὸν λόγον, ἔστι δ' ὅτε καὶ δι' ἄγνωστον ἡμῖν αἰτίαν ὑπάρχει. Πλὴν τῆς παλαιᾶς ἐκείνης *ἑπταπύλου* Θήβης ἐν Βοιωτίᾳ (Ἰλ. Δ, 406. Ὀδ. λ, 263. *Αἰσχ.* Ἑπτὰ ἐπὶ Θ. 165. *Σοφ.* Ἀντ. 101 κτλ. ἰδὲ *Ἀπολλοδ.* Γ' 6, 6)[1] καὶ τῶν *Ἑπτὰ Πυρῶν* ἐν Θήβαις (Σχολ. εἰς Πινδ. Ὀλ. 6,23), γιγνώσκομεν τὸ *Ἑπτάχαλκον* ἐν Ἀθήναις (*Πλουτ.* Σύλλ. 14 περὶ ἀδολεσχ. 7) τὰς *Ἑπτὰ Γωνίας* ἐν Σπάρτῃ[2], τὰς *Ἑπτὰ πόλεις* πρὸς δυσμὰς τοῦ Ταϋγέτου (Ἰλιάδ. Ι,

---

θεωρούμενον ἀριθμὸν *ἐννέα* ἀποβάλλωσι, ἀντὶ τούτου δὲ τὸν ἀριθμὸν *ἑπτὰ* προσλαμβάνωσι. ἰδ. *Usener*, Der hl. Theodosius σελ. 135 καὶ *Wölfflin*, Arch. für lat. Lexikogr. IX, 347 ἑξ.

[1]) Παρὰ *Σοφοκλ.* Οἰδ. Κολ. 1305 εὕρηται καὶ «*ἑπτάλογχος στόλος*». πρβλ. καὶ 1311 «οἳ νῦν σὺν *ἑπτὰ τάξεσιν* σὺν *ἑπτά τε λόγχαις* τὸ Θήβης πεδίον ἀμφεστᾶσι πᾶν». Περὶ τῆς *ἑπταπύλου Θήβης* ἔγραψε πολλὰ ὁ *Brandis* ἐν Hermes Β' 259 ἑξ. Ἐν τῇ ὀνομασίᾳ ταύτῃ ἀνευρίσκει οὗτος «das älteste Zeugnis für die Anwendung der Planetentage» (πρβλ. ἀνωτ.), Ὁ δὲ *Wilamowitz* ἡγεῖται (Hermes ΚϚ' (1891) σελ. 191-242) τὸ ὄνομα εἶναι «eine aus künstlerischen Motiven hervorgegangene Erfindung» καὶ ὅτι «der Dichter der Thebais hat die Sieben Tore erfunden» ὥστε αὗται (σελ. 229) «nicht für die Topographie sondern für die Poetik ihren Wert haben»· καὶ ὁ Diels καλεῖ τοῦτο (ἔ. ἀ. σελ. 10) eine conventionelle Phrase» τοῦ περιτρίπτου ἀριθμοῦ. Ὁ δὲ *Σωτηριάδης* (Humanistisches Gymnasium τόμ. 1900 σελ 159 ἑξ.) τὴν ὀνομασίαν ἡγεῖται μόνον ἐκ τοῦ ἀριθμοῦ τῶν πυλῶν ὡρμῆσθαι. Καὶ ὁ Σχολ. δὲ εἰς Ἀριστοτέλ. Μεταφ. 1093 α 18 (ἐκδ. Βερολ. Ἀκαδημ. τόμ. Δ' σελ. 831) σημειοῦται «εἰ δὲ πεντάπυλος ἦν ἡ πόλις (Θῆβαι) καὶ οἱ ἐπὶ Θήβας στρατηγοὶ πέντε ἂν ἐγένοντο», οὐ προσδεχόμενος τὴν διὰ τοῦ ἑπτὰ ἀριθμοῦ αἰτίαν. Γνωστὸν δὲ καὶ τὸ *ἑπτάστομοι (πύλας:) Θῆβαι* (*Σοφ.* Ἀποσπ. 778 Nauck), καὶ τὸ ἐν *Εὐριπ.* Ἀντιόπῃ 61 (Suppl Euripid bearb von H v. Arnim, ἐν Βόννῃ 1913. σελ. 21) ἄστυ δ' Ἰσμηνὸν πάρα | *ἑπτάσ[τομ]ον* πύλαισι[ν] ἐξαρτύετε. Περὶ τῶν *ἑπτὰ πυλῶν* τῆς Καδμείας διὰ μακρῶν ἐπραγματεύθη ὁ *Α. Δ. Κεραμόπουλλος*, ἐν Θηβαϊκοῖς Ἀθ. 1917 σελ. 454 καὶ νῦν δὲ ἡ πόλις κατ' αὐτὸν (σελ. 464) ἔχει *ἑπτὰ ἐξόδους*. Πρβλ. *Εὐρ.* Βαχ. 919 «Θήβας καὶ πόλισμα *ἑπτάστομον*» ἰδ. καὶ κατ. τὰ περὶ τοῦ *ἑπτάπυργος*. Καὶ ὁ Φιλοκτήτης δ' ἀλγυνόμενος (Σοφοκλ. 1027) ὅτι ἔζη σὺν κακοῖς πολλοῖς καλεῖ ἑαυτὸν πανάθλιον, ναυβάτην πλεύσανθ' ἑκόντα ἑπτὰ ναυσί (Ἰλ. Β, 719).

[2]) *Λιουΐου* 34.38 «ab eo loco quem *Heptagonias* appellant».

150-151), τὴν *Ἑπτάφωνον στοὰν* ἐν Ὀλυμπίᾳ [1], τὸν *ἑπτάπορον ποταμὸν* ἐν Μυσίᾳ (Ἰλ. Μ, 20. *Ἡσιόδ.* Θεογ. 341, ἴδε καὶ κατωτέρω), τὰ *Ἑπτὰ Ὕδατα* («Septem Aquae») λίμνην πλησίον τοῦ Ῥεάτου τῆς Σαβίνης (*Διον.* Ἁλ. Ῥωμ. ἀρχ. Α, 14, 4. *Κικ.* ad Att. IV, 15,5, πρβλ. καὶ Drakenborch εἰς Liv. XXII. 36,7), τοὺς *Ἑπτὰ Πάγους* ἐν Τυρρηνίᾳ [2], τὰ *Ἑπτὰ Πελάγη* ἐν Βενετίᾳ (*Πλίν.* III, 16, 20. *Ἡρωδιαν.* Η′ 7, 1), τὰ *Ἑπτὰ Φρέατα* ἐν Ἀραβίᾳ (*Στράβ.* Ις′ 182), τὸν τόπον *Ἑπτάδελφοι* ("Επτ' Ἀδελφοὶ Grash.) ἐν Μαυριτανίᾳ [3], τοὺς *Ἑπτὰ Νομοὺς* (Ἑπτανομὶς ἢ ἀπὸ τοῦ γ′ αἰῶνος *Ἑπτανομία*· ἐν τοῖς χειρογράφοις τοῦ Πτολεμαίου εὕρηνται καὶ οἱ δύο οὗτοι τύποι καὶ ὁ τύπος *οἱ Ἑπτάνομοι!*) ὄνομα τῆς μεσημβρινωτέρας τοῦ μεγάλου Δέλτα Αἰγύπτου (πρβλ. *Πτολεμ.* Δ′ 5 καὶ Wilberg ἐν σελ. 286, ἴδε καὶ *Wilcken*, Gr. Ostraka I. 426 καὶ *Mitheis-Wilcken,* Chrest. der Pap. I, 1, ἐν Λειψίᾳ, 1911, σελ 36 καὶ *P. M. Meyer,* Jurist. Papyri, ἐν Βερολίνῳ 1920, σελ. 284. 289) [4], τὴν *Ἑπτάθεον* ὄνομα τῆς Θευδοσίας (Θεο-

---

[1]) *Πλουτάρχ.* Ἠθικ. 502, d. *Λουκ.* περὶ τῆς Περεγρ. τελευτ. 40. *Πλιν.* 36,15 «ibi casu accidit. Olympiae autem arte, mirabili modo, in porticu, quam ob id *heptaphonon* appellant, quoniam septiens eadem vox redditur»

[2]) *Διον.* Ἁλ. ἕ. ἀ. Β, 55, 5. «χώραν τε παραδοῦναι Ῥωμαίοις τὴν προσεχῆ τῷ Τιβέρει, τοὺς καλουμένους Ἑπτὰ Πάγους».

[3]) Πτολεμ. Δ′ 1 (σελ. 250 Wilberg). *Στραβ.* ΙΖ′ 827 «Εἰς δὲ τὴν ἐντὸς θάλασσαν πλέουσιν ἀπὸ Λυγγὸς πόλις ἐστὶ Ζῆλις καὶ Τίγα, εἶτα τῶν **ἑπτὰ ἀδελφῶν** μνήματα καὶ τὸ ὑπερκείμενον ὄρος ὄνομα Ἀβίλη πολύθηρον καὶ μεγαλόδενδρον». Οὐχὶ ὀρθῶς ὀνομάζεται τοῦτο ὄρος παρὰ τῷ Pauly RE καὶ *Pape-Benseler* ἐν λ. Οἱ Ῥωμαῖοι ἔλεγον τὸν τόπον τοῦτον Castellum septem, φαίνεται δὲ μᾶλλον ὢν ναός τις καθωσιωμένος τῇ λατρείᾳ τῶν ἑπτὰ πλανητῶν. Ἴδε *Brandis* ἐν Hermes Β (1867) σελ. 264 σημ.

[4]) Ἐν τῇ μεταγενεστέρᾳ ἱστορίᾳ τῶν Αἰγυπτίων ἐκβάλλεται ὁ παρ' αὐτοῖς ἱερὸς ἀριθμὸς ***τέσσερα*** τῷ χρόνῳ πλήρως ὑπὸ τοῦ ἀριθμοῦ ***ἑπτά***, καί πως ὑπὸ τοῦ ἀριθμοῦ ***ἐννέα***. Καὶ ἐν Αἰγύπτῳ πλὴν τοῦ ἱεροῦ ἀριθμοῦ τέσσαρα προσφιλέστατος ἦν ὁ ἐπ' ἴσης ἱερὸς ἀριθμὸς **ἑπτὰ** (ἴδε *Griffith-Thomson,* Demot. Mag. Pap. σελ. 78. *Heyes*. Bibel und Ägypten σελ. 212) ὃς δὴ τῷ χρόνῳ καὶ τοῦ τέσσαρα ἐπικρατεῖ. Καὶ δὴ πρότερον μὲν ἡγοῦντο πᾶσαν εὐδόκιμον πρᾶξιν ἐπὶ τέσσαρας ἡμέρας ποιητέον. πρὸς μαγείαν δὲ ληπτέον τέσσαρας κεράμους καὶ τετράκις ἐπ' αὐτῇ ἀναβοᾶν· γοητεία δέ τις ἐπὶ τὸ θῦμα γιγνομένη μὲν ἐπὶ τέσσαρας ἡμέρας κατακοιμίζει αὐτό, ἐπὶ δ' **ἑπτὰ** φονεύει αὐτό. Ἀλλὰ βραδύτερον ἐνομίζετο ὅτι ἐν Ἅδου ὑπαντᾷ

δοσίας ἢ Ἀρδαύσης ἐν τῇ Ταυρικῇ χερσονήσῳ [1], τὰ *Ἑπτὰ Νησία* ἐν τῇ ἐντὸς θαλάσσῃ (*Στεφ. Βυζ.* Πτολεμ. 7, 1, 95 [2] *Meineke*, FCG. 4, σελ. 518 [3]. Καὶ τὸ ἐν Κωνσταντινουπόλει *Ἑπταπύργιον* (Γεδι-Κουλέ), φρούριον, ἴδ. *Du Cange*, Const. Christiana βιβλ. Β' σελ. 45 καὶ πρβλ. *Κ. Ἄμαντον* ἐν Λεξικογρ. Ἀρχ. τῆς Μεσ. καὶ Νέας Ἑλλ. τόμ. Ε' (1920) σελ. 61. Ἐν τῇ αὐτῇ πόλει ὑπῆρχον τό τε *Ἑπτάσκαλον*, Du Cange ἔ. ἀν. σελ. 56 πρβλ. καὶ σελ. 60 καὶ τὸ προάστειον τὸ καλούμενον *Ἕβδομον*, Du Cange ἔνθ. ἀν. σελ 172-3 τὸ «ἑπτὰ σημείοις» (milliaribus) ἀπέχον τῆς πόλεως (ἴδὲ καὶ *Νικηφόρον* Ἱστορ. Σύντομ. σελ. 15 καὶ 36 ἐκδ. Βόννης). Πρὸς τοὺς ἑπτὰ πλανήτας ἀναφέρω κἀγὼ καὶ τὰ ἐν Ῥώμῃ *Septizonia* (παρ' Ἀμμιανῷ 15,7,3 τὸ παλαιότερον τούτων καλεῖται Septem*zodium*, ἴδὲ περὶ τούτων καὶ τὴν ἀνωτέρω σημείωσιν) *τὰ Ἑπτάζωνα*, τὰ μέγιστα ἐκεῖνα ἑπτώροφα καὶ ἐπὶ περιφεροῦς ἐν ἑκάστῳ ὀρόφῳ κιόνων ζώνης ἐρειδόμενα οἰκοδομήματα. Τῶν δύο

τις *ἑπτὰ ἀγελάσι* καὶ ἑνὶ ταύρῳ, καὶ ἑπτὰ θεῶν ἢ ὄφεων ὑπήκοος γίγνεται· ἡ Ἶσις κατὰ τὸν πλοῦν ἐν τῷ Δέλτᾳ *ἑπτὰ σκορπίοις* συμπλέει. ἑπτὰ νύμφαι προσέρχονται τῷ νεογεννήτῳ βρέφει καὶ γνωρίζουσιν αὐτῷ τὴν ἑαυτοῦ τύχην, ἑπτὰ θεοὶ ἐθεμελίωσαν τὴν γῆν κττ. Ὡσαύτως καὶ ἐν τῇ ἰατρικῇ καὶ ἐν τῇ μαγείᾳ συχνοτάτη τοῦ ἀριθμοῦ τούτου εὕρηται χρῆσις. Ἑπτὰ φθοΐσκοις ἔκ τινος φαρμάκου ἢ ἑπτὰ λίθοις δεῖ θεραπεύεσθαι, ἑπτὰ ἅμμασι συναπτέον τὸ περίαπτον, καὶ ἑπτὰ πύλας λέγεται ἔχειν τὸν Ἅδην. Ἐν τῷ Δημοτικῷ Μαγικῷ παπύρῳ τοῦ Λονδίνου καὶ Βαταουικοῦ Λουγδούνου (Γ' αἰῶνος μ. Χρ.) ἐκβάλλει αὐτὸ τοῦτο ὅλως ὁ ἑπτὰ ἀριθμὸς τὸν ἱερὸν ἀριθμὸν τέσσαρα. Ἑπτάκις δέον τὰ ῥητὰ ἀπαγγέλλειν, ἑπτάκις τὸν πόδα πατεῖν ἐν ταῖς μαγγανείαις, ἑπτὰ βασιλέα καὶ ἑπτὰ θεοὺς ἐπικαλεῖσθαι τὸν μαγγανευόμενον καὶ μαγεύοντα. ὃς δὴ καὶ ἑπτὰ κεράμοις ἢ κλάδοις φοίνικος, ἑπτὰ φύλλοις, ἑπτὰ βώλοις ἅλατος, ἑπτὰ κριθαῖς καὶ ἑπταδακτύλῳ βότρυϊ χρῆται. Ἴδ περὶ τούτων καὶ *Sethe*, ἔνθ. ἀν. σελ. 31 ἑξ.

[1]) *Ἀνων.* Περίπλους Εὔξ. Πόντ. ἐν *Geog. Gr. min.* ἐκδ. *Ch Müller* I, σελ. 415 «νῦν δὲ λέγεται ἡ Θευδοσία τῇ Ἀλανικῇ ἤτοι τῇ Ταυρικῇ διαλέκτῳ Ἀρδάβδα τουτέστιν *ἑπτάθεος*».

[2]) Πρβλ. καὶ τὴν νεωτέραν τῶν Ἰονίων νήσων ὀνομασίαν «Ἑπτάνησα». Περὶ τούτων σημειοῦται ὁ *Σπ. Λάμπρος* τάδε ἐν Νέῳ Ἑλληνομνήμονι τόμ. ΙΑ' (1914) σελ. 66: «ἡ ὀνομασία τῶν νήσων ὡς Ἰονίων ἢ *Ἑπτανήσου* δὲν παρουσιάζεται πρὸ τοῦ τέλους τοῦ δεκάτου ὀγδόου αἰῶνος· πρότερον δ' ἐκαλοῦντο ἁπλῶς *Βενετικαὶ νῆσοι*, καὶ κατὰ ταῦτα δὲν ἀπεχωρίζοντο ἀπὸ τῶν λοιπῶν νησιωτικῶν κτήσεων τῆς Βενετίας».

[3]) Ἴδὲ καὶ Wiener Jahrbücher der Literatur τόμ. 122, σελ. 213.

τούτων οὕτω καλουμένων οἰκοδομημάτων γνωστότερον (εἰ μὴ καὶ μόνον) ὑπῆρχε τὸ ὑπὸ Σεπτιμίου Σεουήρου τοῦ ἐν Συρίᾳ τὰς περὶ τῶν ἀστέρων δεισιδαιμονίας μυηθέντος, ἐν τοῖς πρόποσι μᾶλλον ἢ ἐπὶ τῆς δυτικῆς κορυφῆς τοῦ Παλατίνου λόφου ἀνεγερθέν, οὗ διετηροῦντο τρεῖς ὄροφοι μέχρι τοῦ πάππα Σίξτου Ε' (1585), τοῦ περιπύστου ἱδρυτοῦ ἄλλων τε καὶ τῆς Οὐατικανῆς Βιβλιοθήκης. Κατέρριψε δ' οὗτος τὰ ἕως τότε σῳζόμενα τριώροφα λείψανα αὐτοῦ (ἴδ. εἰκόνα ἐν *Garrucci*, Antichità di Roma) ἵνα τοὺς κίονας προσλάβῃ ἐν τῷ ἐξοικοδομουμένῳ Οὐατικανῷ. Τῶν Sept. τῶν παλαιῶν χρόνων μνείαν ποιοῦνται οἱ *Suet.* Tit. 1 καὶ *Spartian. Sev.* 19 § 5 καὶ 24 § 3 καὶ *Ant. Get.* 7 § 2. Σημειοῦμαι δ' ἐν τέλει ὅτι καὶ ὁ Χριστιανὸς ποιητὴς *Κομμοδιανὸς* (7 καὶ 9) Septizonium ἐκάλεσε τοὺς ἑπτὰ πλανήτας. Περὶ Ἑπταζωνίου καὶ ἐν Ἀφρικῇ ἴδ. *Boll* ἐν PW. Ζ' 2575 ἑξ. Ἀναγράφω δ' ἐνταῦθα ἁπλῶς καὶ τοὺς χριστιανικοὺς τόπους ἐν Ἱεροσολύμοις *Ἑπτὰ Καμάρας* (παρὰ τὸ παρεκκλήσιον τῶν Κλαπῶν καὶ τῆς Θεοτόκου) καὶ τὰς ***Ἑπτὰ τῆς Παναγίας ἁψῖδας*** (*Ἀ. Παπαδοπούλου-Κεραμέως*, Ἀνάλεκτα Ἱεροσολυμιτικῆς σταχυολογίας Γ, 141 καὶ Α', 327) [1].

---

[1]) Καὶ νῦν ἐν τῇ ἑσπερίᾳ Εὐρώπῃ πολλαχοῦ εὕρηνται ὀνομασίαι τὸν ἑπτὰ ἀριθμὸν ἔχουσαι. Οὕτω παραδείγματος ἕνεκα ἐν ***Βιέννῃ*** ὑπῆρχον παλαιότερον (ὡς εἶδον ἐν τοῖς Wiener Jahrb. d. L. 122, 221) ὀνομασίαι οἷαι· bei den sieben Brunnen, Sieben Schwestern, Buchen, Körben, Säulen, Churfürsten κ.τ.λ. Ἐν *Παρισίοις* ὑπῆρχεν ἄλλοτε παρὰ τὸ Πάνθεον la rue de sept voies, ἐν *Λονδίνῳ* τὰ seven dials, καὶ ἐν τῇ πολυυμνήτῳ καὶ προσφιλεῖ *Ἰένῃ*, τῇ μικρᾷ τῆς Θουριγγίας πόλει, ὑπῆρχον ἄλλοτε τὰ *ἑπτὰ Plunder* αὐτῆς ἃ ἐκάλουν ἑπτὰ Wunder (*Neikel*. Museographia ἐκδ. Kanold σελ. 57, *Nikolai*. Reisebeschreibung σελ. 63): Ara, Caput, Draco, Mons, Pons, Vulpecula Turris | Weigeliana Domus, septem miracula Ienae. ἴδ. καὶ *L. von Lebedur* ἐν Anzeiger für Kunde des deutschen Mittelalters, Α' (1832) στήλ. 293-4, βραχέα τινὰ περὶ τῆς χρήσεως τοῦ ἀριθμοῦ ἑπτὰ ἐν τῷ βίῳ τῶν Γερμανῶν. Μνείαν ποιοῦμαι ἐνταῦθα ἐν παρόδῳ τῶν sieben Schwaben, Raben, Schläfer (καὶ ein Siebenschläfer!) Sieben Sinne, Sieben Sachen (Siebensachen), der Sieben Gründe ἐν τῷ μέσῳ τῶν δύο μεγάλων ῥάχεων ἐξ ὧν ἀποτελεῖται τὸ Riesengebirge, καὶ τῆς φράσεως in Siebenmeilenstiefeln laufen καὶ τοῦ περιπύστου λόγου τοῦ *E. du Bois-Reymond* Die Sieben Welträtsel 1881 καὶ 1888. Ἀνέγνων δέ ποτε ἐν Γερμ. Ἐφημερίδι (Berl. Tagebl. τῆς 9ης Δεκ. 1912) καὶ περί τινος «Verbrecherverein böse Sieben». Καὶ ἡ πολυθρύλητος δὲ Ἰνδικὴ πόλις

Καὶ ἐν Παραστάσ. Συντόμ. Χρονικ.ἐκδ. Preger σελ. 67 (71) μνημονεύονται *Ἑπτὰ Κίονες*, ὃ ὡς ἐμοὶ δοκεῖ τόπον ἢ χωρίον ὑποληπτέον «ὁ λεγόμενος Ξηρόλοφος στήλην μὲν ἔχει, καθὼς ὁ Διακρινόμενος λέγει, τοῦ μικροῦ Θεοδοσίου καὶ Οὐαλεντινιανοῦ κάτωθεν τοῦ κίονος καὶ Μαρκιανοῦ. Σεισμοῦ δὲ γενομένου πεπτωκέναι τὴν στήλην, καὶ ὡς λόγος λέγει, ἀνελθεῖν αὐτὴν ἄνωθεν τῶν ἑπτὰ κιόνων». Καὶ παρὰ Γεωργίῳ δὲ τῷ Κωδινῷ, σελ. 76,20 ἐκδ. Βόννης φέρεται ὅτι ὁ ἐν ἁγίοις μέγας Κωνσταντῖνος ἤγειρεν «τὴν Χελώνην, τὸν ἅγιον Προκόπιον καὶ τὸν *Ἅγιον Ἀκάκιον τὸν Ἑπτάσκαλον*»[1]. Ἅπαντα μὲν οὖν εἰ διεξοίην τὰ τῷ *ἑπτὰ* ὀνόματι συγκείμενα, ἴσως ἂν ἄκαιρον μῆκος ἡμῖν ἐπιγένοιτο τῷ λόγῳ.

ΣΤ'. Ο ΑΡΙΘΜΟΣ ΕΠΤΑ ΕΝ ΤΗι ΓΛΩΣΣΗι ΕΙΣ ΠΛΗΘΟΣ ΚΑΙ ΕΠΙΤΑΣΙΝ ΛΕΓΟΜΕΝΟΣ

Νῦν τοίνυν τέλος ἐρωτᾶται τίνες λέξεις ἀπετέλεσαν γέφυραν, ὡς εἰπεῖν, δι' ἧς ὁ ἀριθμὸς *ἑπτὰ* ἀπὸ ἀριθμοῦ ἱεροῦ καὶ καθηγιασμένου καὶ ὠφελίμου πρὸς τὸν βίον τὸν ἀνθρώπινον προέβη ἐπὶ τὴν σημασίαν τοῦ πλήθους καὶ τῆς ἐπιτάσεως. Δεῖ δὲ τὰς τοιαύτας λέξεις ἐν ἑαυταῖς ἀμφοτέρας που τὰς σημασίας ἐνέχειν, ὥστε τινὰ μὴ δύνασθαι τὴν μίαν μόνον σημασίαν εἰς τὸ ἀκριβὲς ἀποδέξασθαι, ἀλλ' ἀνάγκη καὶ τὴν ἄλλην προσυπάρχειν τε ἢ γε ὑπονοεῖσθαι. Ἐν ταύταις δέον καταφανῶς τοῦ ἀριθμοῦ ἑπτὰ διορᾶν ἐξασθενουμένην τε καὶ ἐκλείπουσαν τὴν ἀκριβῆ ἀριθμητικὴν σημασίαν. Τοιαῦται λέξεις κατ' ἐμὴν γνώμην, αἷς καὶ αἱ ἄλλαι εἶτα συνωλίσθαινον καὶ

Delhi ᾠκοδόμηται ἐπὶ ἑπτὰ παλαιοτέρων πόλεων. Ἰδὲ *J. Hirschberg*, Um die Erde, ἐν Λιψίᾳ 1894, σελ. 427.

[1]) Καὶ παρὰ Νικηφόρῳ Κωνσταντινουπόλεως Ἱστορ. Συντομ. σελ. 33, 16 ἐκδ. Βόννης (σελ. 29 de Boor) λέγεται ὅτι ὁ Ἡράκλειος ἀποχειρίσας τὸν Φιλάγριον ἐξόριστον εἰς τὸ Σέπτας λεγόμενον φρούριον («in Septae castellum») πρὸς ἥλιον δύνοντα κατὰ [τὰ] θάτερα τῶν Ἡρακλέους στηλῶν πρὸς τῇ Λιβύῃ κείμενον παρέπεμψεν» ὄνομα ἐμοὶ ἀλλαχόθεν ἄγνωστον καὶ ἀνερμήνευτον, οὐδαμῶς δὲ εἰς τὸ Septem ἀνακτέον.

συγκατεφέροντο, εἰσὶν αἱ *ἑπτάζωνος*[1], *ἑπτάφωτος*[2], *ἑπτάφυλλος*[3], *ἑπτώροφος*[4], *ἑπτάδρομος*[5], *ἑπταδύναμος*[6], *ἑπτακέφαλος*[7], *ἑπτάστομος*[8], *ἑπτατάλαντος*[9], *ἑπτάπληγος* (Μαλαλ.), *ἑπτάπυργος*[10], *ἑπτασυστρόβητος*[11], *ἑπτάτοκος*[12], τὸ ἀνωτέρω ἀναγραφὲν *ἑπτάπηχυς*[13],

---

[1]) *Νόνν*. Διον 1,241 «οὐρανὸν ἑπτάζωνον», 38,115 «αἰθέρος ἑπτάζωνον ἴτυν» ἀναφέρεται εἰς τὸ σύστημα τῶν ἑπτὰ πλανητῶν· ἴδε ἀνωτέρω πρβλ. καὶ τὸν Λουγδ. Παπ. J. 395 παρὰ *A. Dieterich*, Abraxas σελ. 186, 13 «γνῶθι τέκνον, τίνος ἡ ἡμέρα εἰς τὸ Ἑλληνικὸν καὶ ἐλθὼν εἰς τὴν ἑπτάζωνον μέτρει ἀποκάτωθεν καὶ εὑρήσεις».

[2]) *Ἐπιφ*. 2,297 c «ὦ γαστὴρ ἑπταφώτου χάριτος τὸ ἄσβεστον ἔχουσα φῶς». πρβλ. καὶ *Boissonade Ψευδ Χρυσοστ* τόμ. 7, 547, 10. 566, 25.

[3]) *Ἑπτάφυλλος* (=πολύφυλλος) κράμβη, Ἱππῶναξ παρ' *Ἀθην* 9, 370 β. ἴδ. *Roscher*. Siebenzahl σελ. 11.

[4]) «Ἑπτώροφοι πύργοι» (*Διοδ*. ΙΔ' 30) ἐν οἷς κατῴκουν οἱ Μοσσύνοικοι, λαὸς παρὰ τὸν Εὔξεινον Πόντον πρὸς Δ. τῆς Τραπεζοῦντος (*Ἡροδ*. Γ, 94, Η, 78 καὶ *Ξενοφ*. Ἀνάβ. Ε' 4,15 ἑξ.), ὄντες ἀστροθύται ἢ ἀστρολάτραι, ὥσπερ καὶ οἱ *Ἑπτακομῆται* (*Στεφ. Βυζ*., καὶ *Στράβ*. ΙΒ, 548) λαὸς γνωστὸς ἕνεκα τῆς ἡλιολατρείας αὐτοῦ (*Brandis* ἐν Hermes Β' (1867) σελ. 265 σημ.).

[5]) «*Ἑπτάδρομος* δόλιχος», *Τζέτζης*.

[6]) *Ἱππολ*. λαβυρίνθ. ἢ ἐλέγχ. κατὰ πασῶν τῶν αἱρέσεων 318,70.

[7]) «Ἑπτακέφαλος δράκων», *Μεθόδ* ἐκδ. Bonwetsch σελ. 92, 5, καὶ *Δαμασκ*. ἐν βίῳ Ἰσιδώρ. παρὰ *Φωτίῳ* Βιβλ. 340,9 «ἔλεγον δὲ οὗτοι (οἱ Βραχμᾶνες) καὶ μονόποδας ἀνθρώπους παρὰ σφίσιν ἱστορῆσθαι καὶ *δράκοντας* ἐξαισίους κατὰ μέγεθος *ἑπτακεφάλους* καὶ ἄλλα ἅττα πολὺ τὸ παράλογον ἔχοντα». Παρὰ τῷ *Ἐπιφανίῳ* Πανάρ. κατὰ πασῶν τῶν αἱρέσεων Γ', 239 ἀποκαλεῖται αἵρεσίς τις «ἀνενεκρωμένη ὕδρα *ἑπτακέφαλος* καὶ *πολύσχιδος*», πρβλ. δὲ ὀλίγον ἀνωτέρω σελ. 238 «τὸ ἑρπετὸν τοῦτο τὸ *πολυκέφαλον ὕδρας* ἄμορφον κατάστημα» (*Roscher*. Siebenzahl σελ.50)

[8]) *Νόνν*. Διον. 1,242 «βοῆς ἑπτάστομος ἠχώ».

[9]) *Θεμιστ*. Σοφιστ 284. β. «καὶ προσήκει αὐτῷ μεῖζον φρονεῖν φέροντι ῥαδίως. ἀγνωμοσύνας ἀνθρώπων ἢ ἐφρόνει ἐκεῖνος* ὁ ἐξαμύσας (Ἐξαμύας Dind.) φέρων ἐπὶ τῶν ὤμων τὸν λίθον τὸν *ἑπτατάλαντον*».

[10]) = Ἑπτάπυλος κατὰ τὰ ὑπὸ *Κεραμοπούλλου* ἐν Θηβαϊκοῖς σελ. 454 λεγόμενα. πρβλ. καὶ Curtius ἐν SB Berl. Akad. 1884 σελ. 504 σημ. 6. Τοῖς τείχεσι τῆς πόλεως Θήβης ἀποδίδωσιν ὁ Εὐριπίδης *ἑπτὰ* ἢ ἀοριστότερόν πως *πολλοὺς πύργους* (πρβλ. Φοιν. 181, 219, 245, 287, 489, 621, 710, 748 σχολ., 1058, 1078, 824, 1002, 1087, 1091, 1167, 1196, 1224, καὶ Κεραμ. ἔν. ἀν

[11]) «Ἑπτασυστρόβητον ὄρχημα», *Τζέτζ*. ἐν *Cramer*, Ἀνέκδ. III, 341, 18.

[12]) *Νόνν*. Διον. ΙΓ' 148 ἑπτατόκου μετὰ μητέρος. vgl. *πολυτόκος* Ἱπποκρ. Ἀριστοτ.

[13]) Πρβλ. καὶ τὸ *Αἰσχύλειον* «ἑπτατειχὴς ἔξοδος» (Ἑπτ. ἐπὶ Θήβ. 284) «ἐγὼ δ' ἐπάρχους ἓξ ἐμοὶ σὺν *ἑβδόμῳ* ...εἰς ἑπτατειχεῖς ἐξόδους τάξω μολών». — Παρ. *Εὐσταθίῳ* 1425,41 ἀναγράφεται «καί τι μύρου εἶδος *ἑπταβασίλειον*», ὃ ἄλλοι ἄλ-

ἑπτάχορδος[1], κτλ.

Ἐν πᾶσι τούτοις ὁ ἀριθμὸς *ἑπτὰ* οὐ μόνον τὴν ἀπαρίθμησιν δηλοῖ ἀλλά πως καὶ τὸ πλῆθος καὶ μέγεθος· οἷον δ' ἂν ἦν τινι μὴ σφόδρα ἀκριβολογοῦντι ἀμελέστερον εἰπεῖν ἀντὶ τούτων καὶ *πολύζωνον*, ὅς λίθος τι παρὰ *Πλινίῳ*, Hist. Nat. 37, 189, καὶ *πολύφυλλον* (σμίλακα *Εὔπολ.* παρὰ Πλουτ. Ἠθ. 662, e, *Θεοφρ.*) καὶ *πολυώροφον* (*Εὐσταθ.* εἰς Ἰλ. Ζ, 248 [640,1]) καὶ *πολύφωτον* (ἴδ. Δουκάγγιον ἐν λ.) καὶ *πολύδρομον* (*Αἰσχύλ.* Ἱκετ. 737) καὶ *πολυδύναμον* (*Στοβ.* Ἐκλογ. Α', 840) καὶ *πολυκέφαλον* (*Πλάτ.* *Σοφ*, *Ἀριστοτ.*), καὶ *πολύστομον* (*Νεῖλον*, παρὰ *Νικ.* Θηρ. 175) καὶ *πολυτάλαντον* (*Λουκ.* Ἑταιρ. Διαλ. 7,4. *Ἀθην.* 398 e) καὶ *πολύχορδον* (βάρβιτον, *Θεοκρ.* 16,45. *Σιμωνίδ.* 36) κττ. πρβλ. καὶ *ἑπταφεγγὴς-πολυφεγγής*, *ἑπτάφωνος-πολύφωνος*, *ἑπτάωρος-πολύωρος*, κτλ.

Ἐπισκοπουμένοις δ' ἡμῖν περαιτέρω τὸ πρᾶγμα ἔστι διορᾶν ἐν πολλαῖς τῶν πρὸς τὸ *ἑπτὰ* συνθέτων λέξεων τὴν τοῦ *ἑπτὰ* σημασίαν ἀντικαθισταμένην σχεδὸν πλήρως ὑπὸ τοῦ *πολύ*. Τοῦτο δ' ὁμολογεῖται παρ' αὐτῶν ἤδη τῶν παλαιῶν γραμματικῶν. Εἰσαγωγῆς μόνον ἕνεκα μνημονεύομεν ἐνταῦθα τοῦ *Ὁμηρικοῦ* (Ἰλ. Η, 220, 245-248. Λ, 545) καὶ *Σοφοκλείου* (Αἴ. 576) *ἑπταβόειος* (ἑπτάβοιος), ἐπιθέτου τοῦ «ἀρρήκτου» Αἰαντείου σάκους[2], ὅπερ προσβαλὼν ἰσχυ-

λως ἑρμηνεῦσαι πειρῶνται. Ὁ παλαιὸς ἐκεῖνος *Ἀ. Γαζῆς* (Α. 741) λέγει ὅτι μῦρόν ἐστι ἑπτὰ Βασιλέων «καλούμενον οὕτως εἴτε ὡς χρησιμεῦσαν εἰς μύρωσιν ἑπτὰ βασιλέων ἢ ἐπιθετικῶς μόνον» αὐτοσχεδιάζων οὕτω καὶ τὸ ἀσαφὲς ἀορίστῳ ἑρμηνείᾳ σαφηνίσαι βουλόμενος. Ὁ *L. Dindorf* ἐν τῷ Θησαυρῷ τοῦ Στεφάνου (ἐν λ βασιλειος) ὁρμώμενος ἐκ τῶν τοῦ *Ἀθη αίου* 690, c «βασιλείου δὲ μύρου μνημονεύει Κρατ ης ἐν Γείτοσι, Σαπφὼ δὲ ὁμοῦ μέμνηται τοῦ βασιλείου καὶ τοῦ βρενθείου» καὶ εἰς τὸ Regale unguentum τοῦ *Πλινίου* (13, 2) ἀναφερόμενος λέγει τὸ *ἑπταβασίλειον* natum ex errore vel librarii vel Eustathii. Ἐμοὶ δ' ἄπορον τυγχάνει ἡ τοῦ ὀνόματος καὶ πράγματος ἀμφισβήτησις, λογιζομένῳ ὅτι κάλλιστ' ἂν οὕτω ἐν τοῖς μεταγενεστέροις χρόνοις κληθείη μῦρον πολυτελές τε καὶ ἐπίτιμον ᾧ βασιλεῖς μόνον χρῆσθαι δύναιντο. πρβλ. τὴν ἐν τῇ νέᾳ γλώσσῃ χρῆσιν τῆς λ. *βασιλικός*=μεγαλοπρεπής, (βασιλικὸν δεῖπνον κ.τ.τ.).

[1]) *Φίλων.* Νόμ. ἀλληγορ. 14 Cohn (46 M.) διελήλυθε δὲ ἡ δύναμις τῆς ἑβδομάδος καὶ ἐπὶ τὰς ὠφελιμωτάτας τῶν τεχνῶν (....) κατά τε μουσικὴν ἡ *ἑπτάχορδος λύρα* πάντων σχεδὸν ὀργάνων ἀρίστη. πρβλ. καὶ τὸ *ἑπτασήμαντος στόλος* τοῦ *Θεοδοσ.* *Διακόνου* ἐν Ἁλώσει τῆς Κρήτης III, 80 (σελ. 288 ἐκδ. Βόννης) «exercitus septem cladium tamquam nota inustus».

[2]) Πρβλ. καὶ Ovid. Μεταμορφ. 13,2 «clipei dominus septemplicis Aiax».

ρῶς ὁ Ἕκτωρ διασχίζει τῷ *ἀτειρεῖ χαλκῷ* αὐτοῦ, ὃς μόλις ἐν τῇ *ἑβδομάτῃ* (=τελευταίᾳ) *ῥινῷ σχέτο*. Ὁ ποιητὴς ἠθέλησε δι' αὐτοῦ μᾶλλον τὸ ἀδιάτρητόν τε καὶ ἀδιάρρηκτον δηλῶσαι, τὸ *μέγα* καὶ ἰσχυρόν. Ἀντὶ δὲ τοῦ *ἑπταβόειος* ὁ Κόϊντος ὁ Σμυρναῖος εἶπεν αὐτὸ τοῦτο *πολυβόειος* Γ, 238 «καί ῥα θοῶς Αἴαντα κατ' ἀσπίδα *πουλυβόειον* | οὔτασεν». Παρῳδῶν δὲ χαριέστατα τὸ πρᾶγμα ὁ *Ἀριστοφάνης* λέγει (Βατρ. 1017) «θυμοὺς ἑπταβοείους» (ἀντὶ τοῦ «μεγάλους» Σχολ.)[1]. Λέγει τοίνυν ἤδη *Καλλίμαχος* (Ὕμν. εἰς Δῆλ. 62) «ὃ μὲν πέδον ἠπείροιο | ἥμενος ὑψηλῆς κορυφῆς ἔπι Θρήικος Αἵμου | θοῦρος Ἄρης ἐφύλασσε σὺν ἔντεσι. τὼ δέ οἱ ἵππω | *ἑπτάμυχον* Βορέαο κατὰ *σπέος* ηὐλίζοντο». Τί ἑπτάμυχον σπέος ἐστίν, ἑρμηνεύει ὁ Σχολιαστὴς κάλλιστα διὰ τοῦ «πολύμυχον»[2]. Ὁ *Εὐστάθιος* (Παρεκβ. 1542.50. πρβλ. καὶ 725,39) διέσωσεν ἡμῖν ὁ τοῦ Ἡρώνδα «ἀφέω τοῦτον τὸν *ἑπτάδουλον*» (ἴδ. ἀνωτ.)[3], ὁ δὲ *Στράβων* (ΙΓ' 602) μνημονεύων τῶν λόγων τοῦ Δημητρίου ἀναγράφει τὸν ποταμὸν ***Ἑπτάπορον*** τῆς Μυσίας καὶ προστίθησιν «*ὃν καὶ*

---

[1]) Ὁ Αἴας ἐπικειμένων τοῦ τε Ἕκτορος καὶ τῶν Τρώων δύσελπις γίγνεται καὶ ἀναχωρεῖ ἐξ ἀνάγκης μικρόν τι: «ἀνεχάζετο τυτθὸν (οἰόμενος θανέεσθαι) θρῆνυν ἐφ' *ἑπταπόδην*» (Ἰλ. Ο, 729). Ἵνα ἑρμηνευθῇ δ' ὅμως ἐνταῦθα ἡ λ. *ἑπταπόδης* δεῖ ἡμᾶς πρότερον τὴν λ. *θρῆνυν* ἑρμηνεῦσαι. Εἰ δὲ τοῦτο δηλοῖ τὸ «σκαμνίον» (ὑποπόδιον) τοῦ πηδαλιούχου ἢ τὰς καθέδρας τῶν ἐρετῶν ἢ τὸ ἑδώλιον τοῦ κυβερνήτου τοῦ πλοίου, ἄδηλον. Ἀγνοοῦμεν τό γε νυν ἔχον· δέδοικα δὲ μὴ καὶ ἀγνοήσωμεν. Περὶ τοῦ *ἑπταπόδης* σημειοῦται τάδε ὁ Εὐστάθιος 1040,10: «τὸ δὲ ἑπταπόδην ὡς ἐν παρέργῳ παρέρριψεν, εἰ καὶ μὴ καθ' Ἡσίοδον ἠνάγκασται οὕτω μετρεῖν ξύλα ποσὶν ἢ σπιθαμαῖς, ὡς τοῦ θρήνυος τοσούτων ὀφείλοντος εἶναι ποδῶν, καθὰ καὶ τοῦ παρ' *Ἡσιόδῳ* (Ἔργ. 424) ἑπταπόδου ἄξονος».

[2]) Ἰδὲ *Lobeck*, Pathol. Graec. Serm I, 212 σημ. 34. Ὁ *Σουΐδας* μνημονεύει συγγραφῆς τοῦ Συρίου Φερεκύδους ἧς ὄνομα ἦν *ἑπτάμυχος* (ὁ *Preller* μετέβαλεν εἰς «πεντέμυχος») ἰδὲ *Christ-X. Κώνσια*, Ἑλλ. Γρ. Α' 587 καὶ *Roscher*, Siebenzahl σελ. 32 33. Γιγνώσκομεν δὲ ἐκ τοῦ *Φωτίου* καὶ τὸν «*Ἑπτάλογον*» τοῦ Ἀγαπίου. Γνωστὸν δὲ ὅτι ἡ παστὰς ἐκαλεῖτο καὶ «ἑπτάμυχος θάλαμος» ἀλλὰ δι' ἄγνωστον ἀκριβῶς λογον.

[3]) Δὶς ὁ Εὐστάθιος πλανᾶται λόγων (725 39 καὶ 1542,50) ὅτι τὸ *ἑπτάδουλος* ὑπὸ τοῦ Ἱππώνακτος ἐλέχθη. Ἡμεῖς γιγνώσκομεν νῦν ὅτι τοῦτο ἐλέχθη ὑπὸ τοῦ Ἡρώνδα (ἐν Ζηλοτύπῳ 75). Ἴσως ὁ Εὐστάθιος ἐπλανήθη ὑπὸ τοῦ Σουητωνίου λέγοντος: «παρ' Ἱππώνακτι δὲ καὶ ἑπτάδουλος καὶ ἑπτάδουλος» (ἰδὲ *Miller*, Mélanges de littérature grecque, ἐν Παρισίοις 1868, σελ. 426, καὶ τὴν αὐτόθι σημείωσιν τοῦ ἐκδότου)

Πολύπορον λέγουσι[1]. Ὑπό τε τοῦ *Ξενοφῶντος* (Συμπ. Β' 18) καὶ παρ' *Ἀθηναίῳ* (47 Α) ἐκ τοῦ Εὐβούλου καὶ Φρυνίχου τοῦ κωμικοῦ μνημονεύεται *ἑπτάκλινος οἶκος* (Φρυν. «ἑπτάκλινος οἶκος ἦν καλός») καὶ παρ' *Ἀθην.* (205, e) *ἑπτάκλινος κοιτών*. Ἀντὶ δὲ τῶν πεντακλίνων, ἑπτακλίνων, ἐννεακλίνων, τρισκαιδεκακλίνων οἴκων κτλ. λέγεται ἁπλούστερον παρ' *Ἡλιοδώρῳ* (Αἰθ. Ε' 18) «εἰ μή τις τυγχάνοις τῶν *πολυκλίνους οἴκους* ἐπιζητούντων». Καὶ τὸ φυτὸν δὲ *ἀρνόγλωσσον* (Plantago lanceolata L.) καλεῖται *ἑπτάνευρον* (heptaneuros) μὲν παρ' *Ἀπουλ.* de herbarum virtutibus 61 καὶ *Παύλ.* Αἰγιν. Ζ, 17, *πολύνευρον* δὲ παρὰ *Διοσκορ.* Β, 126 (RV) καὶ *πολύπλευρον* ἢ *ἑπτάπλευρον*. Τοῦτο δὲ νῦν καλεῖται ὁμοίως *ἀρνόγλωσσο* ἐν Κερκύρᾳ (*Χέλδραϊχ-Μηλιαράκη*, Δημ. ὀνόμ. τῶν φυτῶν σελ. 76) ἢ *πεντανεύρι*, *πεντάνευρο* (ἐν Κεφαλληνίᾳ, Ἠπείρῳ) ἢ *πεντόνευρο* (ἐν Σίφνῳ), ἢ καὶ *παξὶ* (κατὰ *Σκαρλ. Βυζάντ.* Ἑλλ. Λεξ. ἐν λ. *ἀρνόγλωσσον*). Καὶ ἐν *Φιλουμένου* περὶ ἰοβολ. ζῴων ἐκδ. M. Wellmann (ἐν Λιψ. 1908) κεφ. Δ' 5 (σελ. 8) λέγεται τοῦ λόγου ὄντος περὶ τῶν ἐν προλήψει γεγονότων ὑδροφόβων ἀπὸ λυσσοδήκτων: δεῖ δὲ γινώσκειν ὅτι ἡ τοῦ ὑδροφοβικοῦ πάθους ἐγκατάσκηψις οὐ μίαν οὐδὲ ὡρισμένην ἔχει προθεσμίαν· ὡς ἐπὶ τὸ πλεῖστον γὰρ περὶ τὴν τεσσαρακοστὴν ἡμέραν εἴωθεν τοῖς ἀμεληθεῖσιν ἐμπίπτειν, ἤδη δὲ καὶ δι' ἓξ μηνῶν ἐνίοις ἀπήντησεν καὶ δι' ἐνιαυτοῦ. Καὶ ταῦτα καὶ ἡμῖν ἑώραται. Ἱστοροῦσι δέ τινες *μετὰ ἑπταετίαν* ἐνίοις ἁλῶναι τῷ πάθει. Καὶ ἐν τῷ χωρίῳ τούτῳ ἡγητέον τὴν *ἑπταετίαν* ἀντὶ πολυετίας (ἡ λέξις ἤδη παρὰ Διογ. Λαερτ. Α' 72) εἰρῆσθαι, οὐχὶ δὲ τὴν ἰατρικωτέραν ἔννοιαν τῶν ἑπτὰ ἐτῶν δηλοῖν).

Πολλὰ ἐγράφησαν περὶ τοῦ περὶ αἰγὸς κυρίως λεγομένου ἐπιθέτου *ἑπτάπεκτος* (ἑπταπέκτιος), ὃ εὑρίσκομεν μνημονευόμενον παρὰ

---

[1]) Ὁ *Εὐστάθ.* 889, 61 πειρᾶται τὴν ὀνομασίαν ἑρμηνεῦσαι, οὐ μήν γε πειστικῶς, λέγων τάδε· «ὁ δὲ *Ἑπτάπορος, ὁ καὶ Πολύπορος*, κατὰ τὸν Γεωγράφον *ἑπτάκις* διαβαίνεται ἐν τοῖς περὶ τὴν καλὴν Πεύκην χωρίοις, ὥστε φερωνύμως ὠνόμασται. Εἰς τοσαύτας γὰρ ἑλισσόμενος ἀξιολόγους καμπὰς πολλάκις διαπειρᾶται (γραπτέον *διαπεραται*)». Πρβλ. καὶ *Ἡσύχ.* ἐν λ. «ἑπτάπορος λέγεται καὶ ὁ Νεῖλος», *Μόσχ.* 2, 51. *Νόνν.* Διον. 11,511. Ὁ *Ἡροδ.* Β' 10 (καὶ 17) καλεῖ τὸν Νεῖλον «πεντάστομον», τὰ δ' ἄλλα δύο αὐτοῦ στόματα, τὸ Βολβίτινον καὶ τὸ Βουκολικόν, «οὐκ ἰθαγενέα ἐστὶ ἀλλ' ὀρυκτά». Πρβλ. καὶ *Neidhardt* ἔ. ἀ. II, 27.

τοῖς λεξικογράφοις *Ἡσυχίῳ* καὶ *Σουίδᾳ* καὶ ἐν τῷ Μεγ. Ἐτυμολογικῷ. Ὁ μὲν Ἡσύχιος ἑρμηνεύει τὴν λ. «ἡ βαθείας τρίχας ἔχουσα», ὁ δὲ Σουίδας (Α' σ' 501 Bernhardy καὶ τὰ τῷ ἐκδότῃ ἐκεῖ σημειούμενα) «ἡ βαθεῖαν ἔχουσα κόμην. ἡ *ἑπτάκις δυναμένη καρεῖναι· πέξαι* γὰρ τὸ κεῖραι ἢ κτενίσαι»· ἐν δὲ τῷ Μεγ. Ἐτυμ. 368. 10 λέγεται «*ἑπτάπεκτος*, ἡ τὴν βαθεῖαν ἔχουσα κόμην· ἡ δυναμένη ἑπτάκις τμηθῆναι»[1]. Ἐνταῦθα βεβαίως ὁ λόγος ἐστὶ περὶ μακρομάλλου καὶ δασυμάλλου αἰγὸς (πρβλ. παρ' Ἡσυχ. «κριὸς τρίκουρος»), ἣν *ἑπτάκις*, ὡς εἰπεῖν, ἄν τις περικεῖραι δύναιτο[2].

Ὁ χαρίεις Λουκιανὸς ἐν τῇ πρώτῃ Κρονικῇ ἐπιστολῇ 22 ἐπιστέλλων τῷ Κρόνῳ δέεται αὐτοῦ «προειπεῖν τοῖς οἰνοχόοις (τῶν πλουσίων) μὴ περιμένειν, *ἔστ' ἂν ἑπτάκις αἰτήσῃ* πιεῖν ἡμῶν ἕκαστος, ἀλλὰ ἢν ἅπαξ κελεύσῃ, αὐτίκα ἐγχέαι καὶ ἀναδοῦναι μεγάλην κύλικα ἐμπλησαμένους ὥσπερ τῷ δεσπότῃ».

Χρησιμώτατον πρὸς τὸν ἡμέτερον σκοπόν ἐστι τὸ ὑπὸ τοῦ *Σουίδα* ἔνθα ἀνωτέρω (καὶ *Ζωναρᾶ*, Λεξ. 818) λεγόμενον: «***Ἑπταπλασίονα· ἀντὶ τοῦ πολυπλασίονα· ὁ γὰρ ἑπτὰ ἐπὶ πλήθους τάττεται***». Καὶ ὁ *Χρυσόστομος* δὲ πρὸ αὐτῶν ἑρμηνεύων τὸ τῆς Γενέσ. 4,15 «οὐχ οὕτως· πᾶς ὁ ἀποκτείνας Κάιν, ἑπτὰ ἐκδικούμενα παραλύσει» (περὶ οὗ ἴδ. καὶ ἀνωτ.) ἐποιήσατο τὴν παρατήρησιν (Λόγ. Η' κατὰ Ἰουδ. τόμ. 48 Migne στήλ. 930, ἴδε καὶ Μιχ. Γλυκᾶ σελ. 231, 4 ἐκδ. Βόννης, καὶ πρβλ. καὶ σελ. 223,15 καὶ 230, 10) ὅτι «ὁ ἑπτὰ ἀριθμὸς *παρὰ τῇ Γραφῇ* ἀδιορίστου πλήθους ἐστὶ σημαντικὸς» εἰς σύνοψιν τῶν ἐν αὐτῇ λεγομένων οὐχὶ δὲ εἰς λογισμὸν ἀκριβῆ ἐλθεῖν δυνάμενος[3].

[1]) Πρβλ. καὶ Βιβλιοθ. Φαβρικίου Α' 375. *Cramer* Ἀνέκδ. Ὀξων. Β' 436,7. Θησαυρὸν *Ἑρρίκου Στεφάνου* ἐν λ.

[2]) Ἡ ἑρμηνεία «ἡ ἑπτάκις κειρομένη» οὐδὲν σαφὲς λέγει.

[3]) Πρβλ. καὶ τὸ παρὰ *Προδρόμῳ* Γ' 441 g «ὡς γὰρ Χριστὸς ἐρύσατο τὸν Πέτρον ἐκ πελάγους | καὶ τρεῖς παῖδας διέσωσε πυρὸς *ἑπταπλασίου*».— Ὁποίαν τινὰ δύναμιν μυστικὴν ἔχει παρὰ τοῖς Μωαμεθανοῖς ὁ ἀριθμὸς ἑπτά, καὶ καθ' ὅλου εἴ τινα τοιαύτην δύναμιν ἐν τῷ ἀριθμῷ τούτῳ εὑρίσκει τις παρ' αὐτοῖς, οὐκ ἐμὸν ἔργον ἐνταῦθα εἰς τὸ ἀκριβὲς εἰπεῖν. (πρβλ. Wiener Jahrbücher τόμ. 124, σελ. 72). Μνημονευτέον δ' ὅμως τοῦ χωρίου τοῦ Καισαρείας *Ἀρέθα* ἐν τῇ πρὸς τὸν ἐν Δα-

Οὐ χαλεπὸν εἶτα ἐννοῆσαι τὴν μετάβασιν τῆς σημασίας τοῦ πλήθους εἰς μόνον ἐπίτασιν. Λέγεται οὖν σήμερον ἐν τῇ καθ' ἡμᾶς Ἑλληνικῇ γλώσσῃ ***(ἑ)φτάψυχος*** ἢ *ἑφτάπνοος* (ἐν Ῥόδῳ), κυρίως «γάτος», «γάτα» σπανιώτερον κύων, περὶ τούτου δ' ἔλεγον οἱ ἀρχαῖοι *ἐννεάψυχος* ἰδ. *Ἡσύχ.* καὶ *Μεγ. Ἐτυμ.* 343,41) τ. ἔ. δυσθανής[1]. *(ἑ)φτασκότεινος* ὃ καὶ «θεοσκότεινος» τ. ἔ. σκοτεινότατος, ἀμφικνεφής. *(ἑ)φτάγδυμνος* τ. ἔ. τελέως γυμνὸς («θεόγυμνος»), *ἑφτάγλωσσος* (ἐν Αἴνῳ καὶ Τραπεζοῦντι καὶ Κρήνῃ) ὁ ἀθυρόστομος ἢ αὐθάδης καὶ πολύλαλος. *(ἑ)φτάδιπλος* τ. ἔ. ἰσχυρός, πυκνός[2]. *ἑφταπρέουλος* (ἐν Κρήνῃ) ὁ λίαν παχὺς (=ἑφτακρέουλος). *(ἑ)φτάσκαλος* «ἑφτάσκαλον λιμάνι» =λιμὴν πολυπέλαστος[3]. *(ἑ)φταξεσκέπαστος*. ὁ μὴ ἐν τῇ κλίνῃ περιεσταλμένος. *(ἑ)φτακάθαρος* ὁ τελέως καθάρειος. *ἑφτακαθαρισμένος* (ἐν Πελοπ.), ὁ δυσκόλως καὶ σπανίως ἀπατώμενος, ὁ λίαν πανοῦργος, ὁ ἄλλως καὶ *ἑφταμίσουρος* (Παππαζαφειροπ. σελ. 421), ἐν Κυθήροις δὲ τοῦτο ἰδίᾳ λέγεται ἐπὶ κακοήθους γυναικὸς (Άρχ. Ἱστορ. Λεξ.)[4]. *(ἑ)φτάκαλος* ὁ ἀγαθώτατος, καλὸς κἀγαθός, *ἑφτακάκκαλος* ἡ ἀρρενωπὸς γυνὴ ἢ κόρη, οἷον ἡ ἔχουσα ἑπτὰ κάκκαλα (αἰδοῖα) ἢ καὶ ἡ ἰταμὴ καὶ ἀναίσχυντος. *(ἑ)φτάγερος* ὁ τελείως ὑγιηρός, ὃ *(ἑ)φτάγ(ε)ιανος* ἐν Σάμῳ λέγεται (*Σταματιάδου*, Σαμιακὰ σελ. 82), *ἑφταπάρθενο* κορίτσι, ἡ σεμνοτάτη παρθένος. *(ἑ)φτακακομοίρης* ὁ λίαν οἰκτρός, ἐλεεινός, ἄθλιος, *ἑφτακορφᾶτος*,

μασκῷ Ἀμηρᾶν ἐπιστολῇ (παρὰ *J. Compernass*, Denkmäler der Griech. Volkssprache A' ἐν Βόννῃ 1911 σελ. 8) ἐν ᾗ ἐλέγχων ὁ πρωτόθρονος τὰ διδάγματα τοῦ «Μωχούμετ» λέγει «ὅτι ἀποθνήσκοντες ὑμεῖς (οἱ Μ.) εἰς τὸν παράδεισον εἰσέρχεσθε καὶ ἔχετε ἐκεῖ ἑπτὰ ἱππάρια καὶ ἑπτὰ γυναῖκας, ἃς πορνεύοντες πάλιν εὑρίσκετε παρθένους». Περὶ τῆς ἐπιστολῆς ἰδ. Σ. Κουγέα, Ἀρέθαν σελ. 21, 78 καὶ 90.

[1]) Πρβλ. Ἐρωτοπαίγνια, ἐκδ. Hesseling-Pernot σελ. 22 *ἑπτὰ ψυχὲς* κι' ἂν ἔβαλεν ὁ Πλάστης εἰς ἐμένα | καὶ τὲς ἑπτὰ μ' ἀνέσπασεν ἡ περισσή σου ἀγάπη. Ἐκ δὲ τῶν δελτίων τοῦ ἐν Ἀθήναις Ἀρχείου τοῦ Ἱστορικοῦ Λεξικοῦ μανθάνω ὅτι λέγεται καὶ *ἑφτάπνοος ἄνθρωπος* ὁ πολλάκις μὲν νοσῶν καὶ φιλάσθενος μὴ ἀποθνήσκων δέ· ἡ λέξις λέγεται καὶ περὶ τῆς γαλῆς.

[2]) Πρβλ. τὸ ἀνωτέρω *ἑπταβόειος*.

[3]) Τὸ ἀντίθετον *Κοντοσκάλιον* κατὰ τὸν Δουκάγγιον, ὃς καὶ ἑρμηνεύει τοῦτο «parvum navale». ἰδὲ Χριστ. Κωνσταντινούπολιν I, 194.

[4]) Σημειωτέα καὶ ἡ φράσις «ἐσκόνταψε 'ς τὸ φτακάθαρον» τ. ἔ. ἐν τόπῳ καθαρῷ καὶ ὁμαλῷ.

ε. δένδρον, τὸ ἔχον ἑπτὰ ἢ πολλὰς κορυφάς, *(ἑ)φταμόναχος*[1] ὁ τελέως μόνος, *ἑφταλοΐδιος* (ἐν Κρήτῃ, ἑφτὰ-ὅλο-ἴδιος, αὐτὸς αὐτότατος), *ἑφτάμυαλος* (ἐν Χίῳ) ὁ σοφώτατος, σωφρονέστατος, φρονιμώτατος, *ἑφτάπατος*, «ἑφτάπατον σπίτι», οἰκία ἑπτώροφος τ. ἔ. πολυώροφος, ἐν Ἠπείρῳ δὲ *ἑφτάπατος* ἄνθρωπος ὁ λίαν ἐχέμυθος, ἢ εὐφυής[2]. *(ἑ)φτάξερος*, ξηρότατος («τρώγει φτάξερο ψωμί», ἄρτον μόνον ἐσθίει), *(ἑ)φτάπικρος* ὁ πάνυ πικρός, *(ἑ)φτάγλυκος* ὁ πάνυ γλυκύς.

Μνείαν ποιοῦμαι καί τινων οὐδετέρων οὐσιαστικῶν· *ἑφταβλάστημο* φέρεται ἐν Κρήτῃ ἐπὶ μεγάλης βλασφημίας, *ἑφταλούτρουγο* δὲ λέγεται μὲν κοινῶς ἐκκλησιαστικὴ λειτουργία ἣν ἑπτὰ ἢ πλείους ἱερεῖς τελοῦσι, ὃ καὶ *ἑφταπάππαδον* λέγεται· ἀλλὰ ἡ λέξις αὕτη φέρεται πολλαχοῦ τοῦ Ἑλληνικοῦ ἔχουσα ἰδίαν ὅλως τῆς σημασίας ἐκδοχήν· ἐν Κρήτῃ ἐπὶ παραδείγματος καλεῖται οὕτω καὶ ὁ ὑπὸ ἑπτὰ ἱερέων τελούμενος «ἀφορεσμός» ἢ κατάρα καὶ ἀνάθεμα, ἐν δὲ τῇ Ἠπείρῳ ἡ εὐχὴ ἢ τὸ μυστήριον τοῦ εὐχελαίου, καὶ ἐν Τραπεζοῦντι ἡ ὑπὸ ἑπτὰ ἱερέων τελουμένη εὐχὴ ὑπὲρ ἐκείνου ὃς Ὀθωμανίδι γυναικὶ συνελθὼν ἐμολύνθη ἐκ τούτου[3]. Πλῆθος δὲ γυναικῶν ἔν τινι τόπῳ συνηθροισμένων λέγεται *ἑφταμούνι* (τό), καὶ πατὴρ δὲ πολλὰς θυγατέρας ἔχων λέγεται *ἑφταμούνης*· *ἑφταπόμπι* ἐν Πελοποννήσῳ λέγονται αἱ πολλαὶ ὕβρεις (ἑφτὰ-«πομπή»), *ἑφτακοίλη* δὲ ἢ *ἑφτάκοιλο* (ἐν Κερκύρᾳ καὶ ἐν Κρήτῃ, ἴδε *Χέλδραϊχ-Μηλιαράκη*, Τὰ ὀνόματα τῶν φυτῶν σελ. 17 καὶ 18) λέγεται «εἶδος ἀμπέ-

---

[1]) Ὁ καὶ *θεομόναχος*. Περὶ τούτου καὶ τῶν τοιούτων ἐλπίζω ποτὲ ἀκριβέστερον διαλαβεῖν.

[2]) Ἐν μικρῷ ἀνωνύμῳ ποιήματι «εἰς Μανουὴλ τὸν Κομνηνόν» ὃ ὁ Σπ. Λάμπρος ἐκ τῆς ἐν Ὀξωνίῳ Βοδλειανῆς Βιβλιοθήκης ἐξέδωκε Ν. Ἑλληνομν. Ε΄ (1908) σελ. 329 331 φέρεται ἐν στ. 14 «Μανουὴλ *ἑπταμέδοντος* (=σοφωτάτου), ἐρισθενέος, πτολιπόρθου». Τὸ ποιημάτιον ἴσως, λέγει ὁ Λάμπρος, ἀποδοτέον εἰς τὸν Θεόδωρον Πρόδρομον καίπερ δυσχερειῶν τινων ὑπαρχουσῶν ἐν τούτῳ, ἃς ὁ Λάμπρος ἐν σπουδῇ πειρᾶται ἐπικαλύπτειν.

[3]) Ἐν τῷ Ἀρχείῳ τοῦ Ἱστορ. Λεξικοῦ εὑρίσκω καὶ τὴν λέξιν *ἑφταπάναγο* «κάμνω *ἑφταπάναγο*, πηγαίνω εἰς ἑπτὰ ἁγιάσματα, παρεκκλήσια ἁγίων, καὶ ἐμβαπτίζω ἓν φόρεμα εἰς τὸ ὕδωρ αὐτῶν καὶ θέτω αὐτὸ ἔπειτα ἐπὶ τῆς ἱερᾶς τραπέζης ἑνὸς ἑκάστου ὅπως ἁγιασθῇ καὶ θεραπεύσῃ ἑπομένως τὸν πάσχοντα ἐκεῖνον δι' ὃν πάντα ταῦτα ἔπραξαν».

λου ἢ κληματαριᾶς καρποφορούσης ἑπτάκις τοῦ ἔτους δηλ. ἀπὸ Μαΐου μέχρι τοῦ Νοεμβρίου ἑπτὰ ἡλικιῶν σταφυλάς, βαθμηδὸν περκαζούσας» (: Παππαζαφειρ. 421)[1]. *εφταομόρφι* ψιμύθιόν τι ἐν Φαναρίῳ (κατὰ Σταμούλην ἐν Δελτίοις Ἱστορ. Λεξικοῦ). *εφτάργαλι* ἐν Πόντῳ λέγεται ὕδωρ πόσιμον ἅλατι μεμειγμένον. Σημειωτέα καὶ τὰ θηλυκὰ «*εφταβυζοῦ γυναῖκα*», ἐν Κωνσταντινουπόλει, ἡ καλλίμαστος γυνή, *εφταλουτροῦ* δ' ἔντομόν τι («ταραντέλα» φαλάγγιον) ἐν Λέρῳ. ***Εφτακαρβελοῦ*** λέγεται ἐν Οἰνοῦντι (*Κουκουλέ*, Οἰνουντ. 270) πηγὴ ἧς τὸ ὕδωρ πίνων τις «δύναται ἑπτὰ ὅλους νὰ καταφάγῃ ἄρτους»[2]. ***Εφτάτρουλλη*** δ' ἐκκλησία, *ἑπτὰ τρούλλους* ἔχουσα ἐν Ἐπισκοπῇ Ἱεραπέτρου (Κρήτης) ἧς νῦν ἐρείπια μόνον σῴζονται. Λέγεται δ' εἶτα περὶ ἀνθρώπου καταφανῶς δίκαια καὶ ἀληθῆ περί τινος πράγματος λέγοντος ὅτι «*ἔχει ἑφτὰ δίκαια*», ὀμνύντες ἰσχυρῶς λέγομεν «*μὰ τς ἑφτὰ οὐρανοὺς τοῦ κόσμου*» (πρβλ. ἀνωτ. τὰ περὶ τῶν ἑπτὰ πλανητῶν λεγόμενα)[3] ἢ «*ἑφτὰ ὅρκους παίρνω* ὅτι δὲν τό 'καμα»[4]. Ἐν χειρογράφῳ τοῦ 16ου αἰῶνος «εὐχῆς ἀρχαγγελικῆς» ἐκδοθέντι ὑπὸ ***Fr Pradel***, Griech. Gebete σελ. 22 φέρεται «ὁρκίζω σε : ***κατὰ τῶν ζ' θεμελίων τῆς γῆς***». ὀρθῶς δ' ἐν σελ. 317 ὁ ἐκδότης παραβάλλει πρὸς τοῦτο τό τε (ἐν σελ. 22 στίχ. 4) *ἑπταπέταλον τοῦ οὐρανοῦ* καὶ τοὺς *ἑπτὰ οὐρανοὺς* τῶν μαγικῶν

---

[1]) Ὁ *Π. Γ. Γεννάδιος*, Λεξ. Φυτολογ. (ἐν Ἀθ. 1914) σελ. 307 σημειοῦται «*Ἑπτάκοιλο*, ἑφτάκοιλο ἢ φτάκοιλο, διαφορὰ ἀμπέλου ἀνθοῦσα καὶ καρποφοροῦσα *πλειστάκις* μετὰ τὴν διάρκειαν τῆς ἐτησίας βλαστήσεώς της».

[2]) *Ἑφταγουστία* λέγονται ἐν Ὄφει «αἱ πρῶται *πέντε* ἡμέραι τοῦ Αὐγούστου, καθ' ἃς δὲν βρέχουν τὰ παννιὰ ἵνα μὴ σαπήσωσι καὶ δὲν εἰσέρχονται εἰς τοὺς ἀγροὺς ἵνα μὴ στιγματισθῇ τὸ δέρμα των διὰ λευκῶν σημείων, ἅτινα ἁπλούμενα κατὰ μικρὸν καὶ καλύπτοντα ἅπαν τὸ σῶμα, ἐπιφέρουσιν, ὡς φαντάζονται, θάνατον» (ἐκ τοῦ Περιοδ. τοῦ ἐν ΚΠ Ἑλλ. Φιλ. Συλλ. δελτίον τοῦ Ἀρχ. τοῦ Ἱστορ. Λεξ.). — Μνημονευτέον ἐν τέλει ὅτι ἐν τῇ Μ. Ἀσίᾳ καὶ ὁ τύπος *ὀφτὰ* φέρεται (ἰδ. ***R. M. Dawkins***, Modern Greek in Asia Minor, ἐν Κανταβριγίᾳ, 1916 σελ. 171 (§ 307) δῆλον ὅτι κατὰ συνεκδρομὴν πρὸς τὸ ὀκτώ.

[3]) Πρβλ. *Γουδιαν.* Ἐτυμολ. 197,8 Sturz «ὁ ἑπτὰ ἀριθμὸς τίμιός ἐστιν, ὅθεν (. . .) *ἑπτὰ οὐρανοὶ*» κτλ.

[4]) Ἀλβανικὴ παροιμία λέγεται ὅτι «εἶπε τὴν ἀλήθεια καὶ τὸν ἔδιωξαν ἀπὸ ἑφτὰ χωριά».

κειμένων καὶ τὰς ἑπτὰ σφαίρας τῶν πλανητῶν. Πρβλ. τὰ περὶ τοῦ ἑπτάζωνος ἀνωτέρω εἰρημένα [1]. Περὶ σφόδρα δὲ δυσώδους πράγματος λέγομεν ὅτι «*βρωμεῖ* (βρωμᾷ) σὰν τς *ἑφτὰ σκύλους*» καὶ περὶ ἀπεχθοῦς ἡμῖν ἀνθρώπου ὅτι «τὸν *σιχαινόμεθα* σὰν τς *ἑφτὰ σκύλους*». Περὶ δέ τινος κατὰ σμικρὰ διασπαραχθέντος ἢ κερματισθέντος λέγεται ὅτι «τὸν ἔκαμαν (ἔγινε) ἑφτὰ κομμάτια», πρὸς ἃ παραβάλλω τὸ ἐν Γεωπον. 13. 5. 4 εἰ δὲ ὑμᾶς (=τοὺς μῦς) ἔτι ὧδε ὄντας καταλάβω, παραλαβὼν τῶν θεῶν τὴν μητέρα, *διαιρήσω ὑμᾶς εἰς μέρη ἑπτά*· περὶ δὲ ἀνθρώπου ὀργίλου καὶ σφοδροῦ λέγεται ὅτι «*παίρνει καὶ ἀπὸ τὰ ἑφτὰ πατώματα* (πατωσιὲς) *φωτιά*», καὶ περὶ ἡμῶν αὐτῶν σφόδρα τινὶ θυμουμένων λέγομεν ὅτι «μὲ *ἔζωσαν ἑφτὰ δαιμόνια*» (ἢ *διαόλια*, ἐν Κρήτῃ) [2]. Ἐν Πόντῳ λέγεται *ἑφτὰ εὐλογίες*

---

[1]) Συχνὰ δ' ἐν τῷ βίῳ τῶν νεωτέρων Ἑλλήνων ὁ ἡμῖν προκείμενος ἀριθμὸς καὶ ἐπὶ *ἐπῳδῶν* («*γηθειῶν*» ἐν Κρήτῃ) λαμβάνεται. Σημειοῦμαι τὸ Κεφαλληνιακὸν «ξόρκι γιὰ τ' ἀβάσκαμα» ἐκ τοῦ Λαογραφικοῦ Ἀρχείου (Ἐπῳδαὶ ἀριθμ. 220). «Ἤτανε ἑφτὰ ἀγγέλοι, ἑφτὰ ἀρχαγγέλοι (πρβλ. καὶ Pradel ἔνθ. ἀν. σελ. 55), ἑφτὰ πατέρες, ἑφτὰ παρθένες. Ἐπῆανε σὲ ὄρη, σὲ βουνὰ καὶ πήρανε τὴν ἀσθένεια τοῦ (τάδε) καὶ τὴν ῥίξανε ἀβάθη γιαλοῦ, ἀβάθη πελάου». Καὶ ὁ ἀριθμὸς *ἐννέα* συχνότατα ἐν τῇ αὐτῇ χρήσει λαμβάνεται. Πρὸς τὰ ἐνταῦθα τε καὶ πρὸς τὰ ἀμέσως κατωτέρω παραβλητέα τὰ παρὰ Albr. *Dieterich*, Mithrasliturgie β' ἐκδ. σελ. 10 στ. 13 ἑξ. λεγόμενα: **Ταῦτα πάντα λέγε μετὰ πυρὸς καὶ πνεύματος, τὸ πρῶτον ἀποτελῶν, εἶτα ὁμοίως τὸ δεύτερον ἀρχόμενος, ἕως ἐκτελέσῃς τοὺς *ἑπτὰ ἀθανάτους θεοὺς τοῦ κόσμου*· καὶ τὰ ἐν 12.16: ταῦτα εἰπὼν ὄψει θύρας ἀνοιγομένας καὶ ἐρχομένους ἐκ τοῦ βάθους *ἑπτὰ παρθένους* ἐν βυσσίνοις ἀσπίδων πρόσωπα ἐχούσας. **αὗται καλοῦνται οὐρανοῦ τύχαι** κρατοῦσαι χρύσεα βραβεῖα. Ταῦτα ἰδὼν ἀσπάζου οὕτως· *χαίρετε αἱ ἑπτὰ Τύχαι τοῦ οὐρανοῦ* σεμναὶ παρθένοι (....) 27: προέρχονται δὲ καὶ **ἕτεροι ἑπτὰ θεοὶ** ταύρων μελάνων πρόσωπα ἔχοντες ἐν περιζώμασιν λινοῖς κατέχοντες **ἑπτὰ διαδήματα χρύσεα**· οὗτοί εἰσιν οἱ καλούμενοι **πολυκράτορες τοῦ οὐρανοῦ**, οὓς δεῖ σε ἀσπάσασθαι ὁμοίως ἕκαστον τῷ ἰδίῳ αὐτῶν ὀνόματι· χαίρετε οἱ κνωδακοφύλακες οἱ ἱεροὶ καὶ ἄλκιμοι νεανίαι, οἱ στρέφοντες ὑπὸ ἓν κέλευσμα τὸν περιδίνητον τοῦ κύκλου ἄξονα τοῦ οὐρανοῦ καὶ βροντὰς καὶ ἀστραπὰς καὶ σεισμῶν καὶ κεραυνῶν βολὰς ἀφιέντες εἰς δυσσεβῶν φῦλα, ἐμοὶ δὲ εὐσεβεῖ καὶ θεοσεβεῖ ὄντι ὑγείαν καὶ σώματος ὁλοκληρίαν ἀκοῆς τε καὶ ὁράσεως εὐτονίαν ἀταραξίαν ἐν ταῖς ἐνεστώσαις τῆς σήμερον ἡμέραις ἀγαθαῖς ὥραις, οἱ κύριοί μου καὶ μεγαλοκράτορες θεοί.

[2]) Γνωστὸν τυγχάνει τὸ τοῦ *Ἀριστοφ*. Ὀρν. 95 *οἱ δώδεκα θεοὶ εἴξασιν ἐπιτρῖψαί σε*. Τίνες ἦσαν οἱ δώδεκα θεοὶ (ὧν ὁ Πεισίστρατος βωμὸν ἐν τῇ ἀγορᾷ ἀνέθηκε, Θουκυδ. 6,54) εὑρίσκει τις ἀναλογιζόμενος τὸν πατέρα Δία μετὰ τοῦ ἀδελφοῦ Ποσειδῶνος, τῶν ἀδελφῶν Ἥρας (ἣ καὶ σύζυγος αὐτοῦ ἦν), Δήμητρος καὶ Ἑστίας

ἐν τῇ σημασίᾳ τοῦ πᾶσαι αἱ εὐλογίαι, *μὲ ἐφτὰ καρδιὲς* τὸ προθύμως καὶ ἐν Τραπεζοῦντι *ἐφτὰ φορὲς* τὸ μυριάκις ἢ ἀπειράκις, ὅπερ γνωστότερον *ἐφτὰ χιλιάδες φορὲς* λέγεται. Καὶ ἐν τῇ Δυτικῇ δὲ Κρήτῃ λέγεται ὅτι τις ἄλλου *κατὰ ἐφτὰ* ἢ *ἑκατὸ κάθια*[1] βελτίων ἐστί. ἀποστέλλομέν τινα ὀχληρὸν ἡμῖν γενόμενον «*εἰς τὰ ἐφτὰ καλὰ τοῦ Θεοῦ*» καὶ περὶ ἀνδρὸς σοφωτάτου λέγομεν ὅτι «*ἔχει ἐφτὰ παππάδων νοῦν ἢ γνῶσιν*».

Μνημονευτέα τέλος καὶ τὰ κατὰ παρετυμολογίαν γενόμενα *(ἑ)φταξούσιος* (οἱονεὶ ὁ ἑπτὰ ἐξουσίας ἔχων, ἐκ τοῦ *αὐτεξούσιος*, ὁ ἐξουσίαν ἔχων, ὁ κύριός τινος ('Αθηνᾶ ΙΕ' 514), *(ἑ)φτακράτορας* ἐκ τοῦ *αὐτοκράτωρ (-ορας)*. Τὸ *φτάζυμο* (φτ. ψωμὶ=ἄρτος λεπτός), δῆλόν ἐστιν ἐκ τοῦ *αὐτόζυμος* μὲν παρηγμένον, πρὸς τὸ *ἑπτάζυμος* δὲ παρητυμολογημένον ἴδ. *Kretschmer*. Lesb. Dialekt 134 καὶ *Λωρεντζᾶτον*, ἐν 'Αθηνᾶς ΙΣΤ' 220. 'Εν παρόδῳ εἰρήσθω ἐνταῦθα ὅτι *(ἑ)φτακλήσαρο ψωμὶ* τ. ἔ. ἑπτακρήσερο ψ. λέγεται ὁ σητάνιος ἄρτος (ἴδ. Λεξ. Σακελλ. ἐν λ. *σητάνιος*) ἢ ὁ ἄλλως *κρησερίτης* λεγόμενος ('Αθην. 111, e), κρησέρα δὲ («ψιλὸ κόσκινο») ἡ καὶ νῦν πολλαχοῦ *κρησάρα* (κνησάρα ἐν Κρήτῃ κατὰ παρετυμολίαν) καλουμένη· καὶ *φταπόδι* λέγεται ἐν Τριφυλίᾳ ὁ ὀκτάπους (*χταπόδι* ἐν Κρήτῃ κ. ἀ., *ὀκταπόδιον* παρὰ Σχολ. 'Οππιαν. 'Αλ. 1, 306) ἢ *πολύπους* (πρβλ. *Εὐσταθ*. Παρεκβ. 1541, 8).

Οὕτω τοίνυν συνέβη τὸν ἀριθμὸν *ἑπτὰ* ταὐτόν που ἐν τῇ γλώσσῃ πεπονθέναι ὅ,τι Γλαῦκος, ὃν ὁρῶντες οἱ ἄνθρωποι κατὰ *Πλάτωνα* (Πολιτ. 611, d) οὐκ ἂν ἔτι ῥαδίως αὐτοῦ ἴδοιεν τὴν ἀρχαίαν φύσιν.

(ἢ *παρ'* 'Ομ. οὔπω θεά ἐστι), τῶν τεσσάρων υἱῶν 'Απόλλωνος, "Αρεως, 'Ερμοῦ, καὶ 'Ηφαίστου καὶ τῶν τριῶν θυγατέρων 'Αθηνᾶς, 'Αρτέμιδος καὶ 'Αφροδίτης. «Τοιουτοτρόπως» κατὰ τὸν *Κοραῆν*, "Ατ. Γ'428, «ἡ κυριαρχία ἐπεριωρίζετο εἰς βασιλικὸν καὶ θεῖον αἷμα (le roi, les princes et princesses du sang)». 'Αλλ' ἐκ τῆς 'Αριστοφανείου ῥήσεως συνάγεται ὅτι εὐχή τις ἦν «οἱ δώδεκα θεοὶ πάντα σοι δοῖεν τὰ ἀγαθά» ταύτην δ' ἀναστρέφει παρ' ὑπόνοιαν καὶ προσφυῶς ὁ Εὐελπίδης παρὰ τῷ Κωμικῷ. Πρβλ. τόν τε Blaydes καὶ Kock εἰς 'Αριστοφ. 'Ημεῖς δὲ ἐπιθυμοῦντες μὲν καὶ εὐχόμενοι ἐπικαλούμεθα τὴν 'Αγίαν Τριάδα, καταρώμενοι δὲ εἰς ἕνα συνήθως καὶ μόνον, τὸν Διάβολον, ἀποστέλλομεν τὸν μισητὸν ἢ ὀχληρὸν ἡμῖν γενόμενον.

[1]) *Κάθι* (τὸ) ἐκ τοῦ Τουρκικοῦ ἢ 'Αραβικοῦ *τακάτ*, *νταγάτ* «*τακάτι*» (τὸ) (ἐφτὰ-τακάθια = ἐφτὰ κάθια κατ' ἀφαίρεσιν) ὃ δύναμιν ἀνθρώπου ἢ ζῴου σημαίνει· *κάθι*, ἐκ τοῦ *κάθια* δ' ὁμαλῶς ἐν Κρήτῃ ἀντὶ *κάτια* (ἴδ. *Foy*, Lautsystem σελ. 29).

ὑπὸ τοῦ τά τε παλαιὰ τοῦ σώματος μέρη τὰ μὲν ἐκκεκλάσθαι, τὰ δὲ συντετρίφθαι καὶ πάντως λελωβῆσθαι ὑπὸ τῶν κυμάτων, ἄλλα δὲ προσπεφυκέναι, ὄστρεά τε καὶ φυκία καὶ πέτρας, ὥστε παντὶ μᾶλλον θηρίῳ ἐοικέναι, ἢ οἷος ἦν φύσει.

Ἱκανῶς ἄρα ἐν ἄλλοις πολλοῖς καὶ τοῦτο μάλιστα νομίζομεν ἀποδεδεῖχθαι ὅτι ὁ ἀριθμὸς *ἑπτὰ* καθιερωθεὶς τὸ πρῶτον ἐν τῇ λατρείᾳ ἐκ τῶν τοῦ οὐρανοῦ φαινομένων παρὰ ξένοις μὲν καὶ βαρβάροις ἔθνεσι, προηγμένοις δ᾽ ὅμως τότε ἐν τῇ τῶν ἄστρων ἐπισκοπήσει καὶ ἐρεύνῃ μᾶλλον τῶν Ἑλλήνων, παρελήφθη καὶ παρὰ τούτων καὶ ἡγιάσθη ὡς ἐκ πλείστων μαρτυρίων ἡμῖν παραδέδοται. Ἐκ δὲ τῆς Ἑλληνικῆς καὶ Ἰουδαϊκῆς θρησκείας εἰσαχθεὶς καὶ εἰς τὴν Χριστιανικὴν θρησκείαν, παρέμεινε μέχρι τοῦ νῦν ἐν τῇ ἡμετέρᾳ δημώδει γλώσσῃ, οὐ μόνον ἱερᾶς τινος σημασίας δηλωτικός, ἀλλὰ καὶ ἐν τῇ ἐπιτατικῇ τῶν ἐννοιῶν τῶν ὀνομάτων δηλώσει εὐχρηστότατος, ἢ δὴ ἐξ ἐκείνης ὥρμηται καὶ τὴν ἀρχὴν ἔλαβε, ὥς μοι καὶ τοῦτο διὰ πλείστων τεκμηρίων ἀνωτέρω σαφῶς δεδήλωται καὶ παντί που ἐξαρκούντως καὶ ἀποχρώντως εἴρηται.

ΙΩΑΝΝΗΣ Ε. ΚΑΛΙΤΣΟΥΝΑΚΙΣ

ΠΡΑΚΤΙΚΑ

ΤΗΣ ΕΝ ΑΘΗΝΑΙΣ ΕΠΙΣΤΗΜΟΝΙΚΗΣ ΕΤΑΙΡΕΙΑΣ

Συνεδρία ΣΟΑ' τῆς 17ης Ἰανουαρίου 1921.

Συνελθόντων τῶν ἑταίρων ἐν τῇ Σιναίᾳ Ἀκαδημείᾳ εἰς τακτικὴν συνεδρίαν ὑπὸ τὴν προεδρίαν τοῦ τακτικοῦ προέδρου κ. Γ. Ν. Χατζιδάκι ὁ ἑταῖρος κ. Στίλπων Κυριακίδης ἀνεκοίνωσεν, ὅτι κατὰ τὸ εἰς Θρᾴκην λαογραφικὸν αὐτοῦ ταξίδιον μελετήσας καὶ τὰ γλωσσικὰ ἰδιώματα παρετήρησεν ὅτι πάντα ταῦτα ἀνήκουσιν εἰς τὰ βόρεια ἰδιώματα καὶ δύνανται διὰ τῶν ἰδιαιτέρων αὐτῶν κατὰ τόπους γνωρισμάτων νὰ χωρισθῶσιν εἰς τὰς ὁμάδας 1) Γιουμουλτζίνης-Ξάνθης 2) Μαρωνείας-Χιρκᾶ καὶ 3) τὴν τοῦ Σουφλίου.

Ἔχων δ' ὑπ' ὄψιν τὰς παρατηρουμένας εἰς τὰ ἰδιώματα ταῦτα διαφορὰς πρὸς ἄλληλα καὶ πρὸς τὰ τῶν γειτονικῶν τόπων παρετήρησεν, ὅτι πρὸ τοῦ καταρτισμοῦ διαλεκτολογικοῦ χάρτου τῶν ἑλληνικῶν χωρῶν δὲν εἶναι δυνατὸν νὰ ζητηθῇ ἡ ἑρμηνεία πλείστων φαινομένων διὰ μόνης τῆς ὑποθέσεως μεταναστεύσεων καὶ ἄλλοθεν γενομένων ἀποικήσεων.

Μετὰ τοῦτον ὁ κ. Γ. Ν. Χατζιδάκις λαβὼν ἀφορμὴν ἐκ τοῦ ἐν Κρήτῃ ἀκουομένου ῥήματος *δούδω* ἑτέρου τύπου τοῦ *δίδω* καὶ ἰδιαιτέρως ἐκ τῶν ἐν Κρητικαῖς ἐπιγραφαῖς *ἐδούμεθα* καὶ *δούμην*, ὑπεστήριξεν, ὅτι ὁ τύπος ἀσφαλῶς ἀρχαῖος ὢν καὶ παραδοθεὶς μέχρις ἡμῶν διδάσκει, ὅτι ἀρχαιόθεν ὑπῆρχεν ἡ ῥίζα *δοF-*, ἣν εὑρίσκομεν ἐν τοῖς *δοFέναι-δοῦναι*. Μετὰ ταῦτα ἐξετάσας τὸ ἔτυμον τοῦ ἐν Κρήτῃ τοπωνυμίου *Σητεία* ἐδίδαξεν, ὅτι δὲν προῆλθε τοῦτο ἐκ τοῦ *Ἤτεια*, μετὰ προσθήκην τοῦ Σ, ὡς νομίζεται, ἀλλ' ἐκ τοῦ ἀρχαίου *Σήταια*, οὗ τὸ ἐθνικὸν *Σηταῆται* εὕρηται ἐν ἐπιγραφῇ εὑρεθείσῃ ἐν τῇ περιοχῇ Σητείας.

Ἐν τέλει οἱ παρόντες ἑταῖροι εἴκοσι καὶ ἐννέα τὸν ἀριθμόν, ἀποτελοῦντες συμφώνως τῷ 21 ἄρθρῳ τοῦ καταστατικοῦ ἀπαρτίαν, προέβησαν εἰς τὴν συμπλήρωσιν τοῦ ἀριθμοῦ τῶν τακτικῶν ἐλεγκτῶν

διὰ τὴν διετῆ περίοδον 1920—1922 συμφώνως τῷ 19 ἄρθρῳ τοῦ καταστατικοῦ· γενομένης δὲ ψηφοφορίας ἐξελέγη διὰ ψήφων εἴκοσι καὶ ὀκτὼ ὁ ἑταῖρος κ. Κωνσταντῖνος Λογοθέτης.

Μεθ' ὃ ἐλύθη ἡ συνεδρία.

Ὁ Πρόεδρος	*Ὁ Γραμματεὺς κ. ἀ. α.*
Γ. Ν. ΧΑΤΖΙΔΑΚΙΣ	Π. Α. ΦΟΥΡΙΚΗΣ

Συνεδρία ΣΟΒ' τῆς 31ης Ἰανουαρίου 1921.

Συνελθόντων τῶν ἑταίρων ἐν τῇ Σιναίᾳ Ἀκαδημείᾳ εἰς τακτικὴν συνεδρίαν ὑπὸ τὴν προεδρίαν τοῦ τακτικοῦ προέδρου κ. Γ. Ν. Χατζιδάκι, μετὰ τὴν ἀνάγνωσιν καὶ ἐπικύρωσιν τῶν πρακτικῶν τῆς προηγουμένης συνεδρίας καὶ τὴν ἀνάγνωσιν τῆς συμφώνως τῷ 10 ἄρθρῳ τοῦ καταστατικοῦ συνταχθείσης ἐκθέσεως τῶν κατὰ τὸ λῆξαν ἔτος ὑπὸ τῆς Ἑταιρείας πεπραγμένων, ὁ κ. Βασίλειος Φάβης, εἰσηγητὴς τῆς ἐξελεγκτικῆς ἐπιτροπείας, ἀνέγνω τὴν περὶ τῆς οἰκονομικῆς κατὰ τὸ λῆξαν ἔτος διαχειρίσεως ἔκθεσιν, συμφώνως τῷ 19 ἄρθρῳ τοῦ καταστατικοῦ.

Μετὰ ταῦτα ὁ ἑταῖρος κ. Στίλπων Κυριακίδης ἀνεκοίνωσεν ὅτι κατὰ τὰς λαογραφικὰς ἐν Θράκῃ ἐρεύνας αὐτοῦ ἐβεβαίωσε τὴν ὕπαρξιν ὡρισμένου τῶν οἰκήσεων τύπου, ὅστις ἀποτελεῖται ἐκ δύο παρακειμένων δωματίων, ὧν τὸ μὲν λέγεται *σπίτ'*, τὸ δὲ *κιλλάρ*, καὶ ἑνὸς πρὸ αὐτῶν ὑποστέγου ἐλευθέρως δεχομένου τὸν ἥλιον καὶ προστατεύοντος τοὺς ἐνοίκους ἀπὸ τῆς ἀμμέσου ἐπιδράσεως τῶν καιρικῶν μεταβολῶν. Παρετήρησε πρὸς τούτοις ὅτι ἐκ τοῦ ἀρχικοῦ τούτου τύπου διεμορφώθησαν καὶ ἕτεροι, ὧν τὴν μορφὴν ἐπηρέασε κυρίως ἡ ἀπαίτησις πρὸς ἐπίτευξιν ἡλιακῆς θερμότητος καὶ πλουσιωτέρου φωτός.

Μετὰ τοῦτον ὁ ἑταῖρος κ. Στυλιανὸς Δεινάκις διέλαβε περὶ τῶν λέξεων *καρκανιᾶς*, *καρκαντζᾶς*, *καλικαντζοῦ*, *καλιτζακοῦ* καὶ *καρακάξα* ὑποστηρίξας τὴν παραγωγὴν τῆς μὲν πρώτης ἐκ τῆς λέξεως *καρκάνι* τῆς σημαινούσης τὸ *κεκαυμένον*, τῶν δ' ἄλλων ἐκ τῆς συνωνύμου λέξεως *καρκάτζι*.

Μεθ' ὃ ἐλύθη ἡ συνεδρία.

Ὁ πρόεδρος	*Ὁ Γραμματεὺς κ. ἀ. α.*
Γ. Ν. ΧΑΤΖΙΔΑΚΙΣ	Π. Α. ΦΟΥΡΙΚΗΣ

Συνεδρία ΣΟΓ' τῆς 14ης Φεβρουαρίου 1921.

Συνελθόντων τῶν ἑταίρων ἐν τῇ Σιναίᾳ Ἀκαδημείᾳ εἰς τακτικὴν συνεδρίαν ὑπὸ τὴν προεδρίαν τοῦ τακτικοῦ προέδρου κ. Γ. Ν. Χατζιδάκι ὁ ἑταῖρος κ. Χαρίτων Χαριτωνίδης προέτεινε τὴν διόρθωσιν τῶν ἑξῆς δύο χωρίων· α) Ὀνομ. Πολύδ. βιβλ. Γ'. 35: τὸ ὁ δὲ πενθερὸς ἐγγυᾷ, ἁρμόζει . ὅθεν τινὲς τῶν παλαιῶν καὶ *ἁρμοστὴν* τὸν μνηστῆρα ἐκάλεσαν εἰς «. . . ὅθεν τινὲς τῶν παλαιῶν καὶ *ἁρμοστὸν* τὸν μνηστῆρα ἐκάλεσαν» ἢ κάλλιον « . . . ὅθεν τινὲς τῶν παλαιῶν καὶ ἁρμοστὴν (τὴν μνηστὴν ἁρμοστὸν δὲ τὸν μνηστῆρα ἐκάλεσαν» ὑποστηρίξας, ὅτι τὸ *ἁρμοστὸς* παρήχθη ἐκ τοῦ ἁρμοστή, ὡς τὰ πόρνος, χῆρος, στεῖρος, μάμμος, σαστικός, συδατικός, ἐκ τῶν πόρνη, χήρα, στεῖρα, μάμμη, σαστικὴ καὶ συδατική. β') Σοφ. Ἀντιγ. 125 τὸ «τεῖος ἀμφὶ νῶτ' ἐτάθη πάταγος Ἄρεος, ἀντιπάλῳ δυσχείρωμα δράκοντι» εἰς τὸ « . . . ἀντιπάλῳ δὶς χείρωμα δράκοντι» δι' οὗ παρέχεται ἡ ἔννοια ὅτι: δὶς ὁ δίκην ἀετοῦ πτὰς Ἀργεῖος ἐχειρώθη ὑπὸ τοῦ ἀντιπάλου δράκοντος.

Μετὰ τοῦτον ὁ ἑταῖρος κ. Πέτρος Φουρίκης λαβὼν ἀφορμὴν ἐκ τῶν ἐν τοῖς Χρονικοῖς τοῦ Μορέως ἀναφερομένων τοπωνυμίων Μάνη, Γρίτσενα, Καρύταινα, Κρέστενα, Μόραινα, Κόπραινα Ξεροκαρύταινα Λινίστενα καὶ Βέρδενα, ὑπεστήριξεν ὅτι τὸ μὲν Μάνη δέον νὰ ἀναχθῇ ἐτυμολογικῶς εἰς τὸ ἀλβανικὸν *μάν-ι* τὸ δηλοῦν τὴν *μορέαν*, τὰ δὲ εἰς -ένα τοπωνύμια ὅτι εἶναι κατὰ τὸ πλεῖστον ἀλβανικὰ καὶ δὴ πληθυντικοῦ ἀριθμοῦ, εὑρισκομένου καὶ τοῦ ἑνικοῦ τῶν πλείστων ἐν τοπωνυμίοις, οἷα τὰ Γρίτσα, Κόπρα, Λινίστα, Βέρδα κλπ. Ἐτυμολογικῶς ἀνήγαγε τὸ μὲν Καρύτενα εἰς τὴν λ. *καρούτα* τὴν δηλοῦσαν ληνόν, δεξαμενήν, πλυνὸν κ. τ. τ., τὸ Κρέστενα εἰς τὴν λ. *κρέστε-α* τὴν δηλοῦσαν *κρόμμυον*, τὸ ***Κόπρενα*** εἰς τὴν λ. *κόπερ* τὴν δηλοῦσαν τὸ *μάραθον*, τὸ ***Λινίστενα*** εἰς τὴν λέξιν ***λινίστα*** τὴν δηλοῦσαν ***ἐλαιῶνα***. Ἑρμηνεύσας δὲ καὶ πλεῖστα ἄλλα τοπωνύμια λήγοντα εἰς ***-ενα***, μὴ μνημονευόμενα ὅμως ἐν τοῖς Χρονικοῖς τοῦ Μορέως ὡς τὰ ***Βρέστενα*** ἐκ τοῦ ***βρέστε-α*** τοῦ δηλοῦντος *ἄμπελον*, ***Ἀνδρίτσενα*** ἐκ τοῦ ***δρίτσε-α*** σημαίνοντος ***θάμνον***, ***Γάρδενα*** ἐκ τοῦ *γάρδ* τοῦ δηλοῦντος περιπεφραγμένον χῶρον, κῆπον, ***Γράβενα*** ἢ ***Γράβαρα*** ἐκ τοῦ *γράβε-α* τοῦ σημαίνοντος τάφρον, φάραγγα καὶ τόπον πετρώδη,

καὶ κρημνώδη, ἐξ οὗ καὶ τὰ *Γρεβενά*· ἐν τέλει ὑπεστήριξεν ὅτι ἐκ τῶν τοιούτων τοπωνυμίων ἐσχηματίσθη ἄλλη τάξις μετὰ τῆς καταλήξεως *-ικου* ἑλληνιστὶ *-ικον*, ὡς τὰ Ἀόαρῖκον, Βελενῖκον, Βερδενῖκον, Βρεστενῖκον, Γαρδενῖκον, Σαλμενῖκον κ. τ. τ.

Μεθ' ὃ ἐλύθη ἡ συνεδρία.

Ὁ Πρόεδρος — *Ὁ Γραμματεὺς κ. ἀ. α.*

Γ. Ν. ΧΑΤΖΙΔΑΚΙΣ — Η. Α. ΦΩΤΡΙΚΗΣ

Συνεδρία ΣΟΔ' τῆς 7ης Μαρτίου 1921.

Συνελθόντων τῶν ἑταίρων ἐν τῇ Σιναίᾳ Ἀκαδημείᾳ εἰς τακτικὴν συνεδρίαν ὑπὸ τὴν προεδρίαν τοῦ τακτικοῦ προέδρου κ. Γ. Ν. Χατζιδάκι ὁ ἑταῖρος κ. Ἄνθιμος Παπαδόπουλλος λαβὼν τὸν λόγον ὡμίλησε περὶ τοῦ ἰδιώματος τοῦ Ἄθω ὑποστηρίξας ὅτι τοῦτο ἀνῆκον εἰς τὸ νότιον ἰδίωμα εἶναι ὅμοιον σημασιολογικῶς τῷ τῆς Χαλκιδικῆς, ἐπλουτισμένον ὅμως διὰ πλείστων ἐκ πάσης ἑλληνικῆς γωνίας διὰ τῶν μοναχῶν εἰσκομιζομένων λέξεων. Ὡς πρὸς τὴν ὑφισταμένην μεταξὺ αὐτῶν φωνητικὴν διαφορὰν, διότι τὸ τῆς Χαλκιδικῆς ἀνήκει εἰς τὴν ὁμάδα τῶν βορείων ἰδιωμάτων, παρετήρησεν ὅτι αὕτη ἑρμηνεύεται ἂν δεχθῇ τις ὅτι τὸ ἰδίωμα τοῦ Ἄθω ἀπεσπάσθη τοῦ τῆς Χαλκιδικῆς πολὺ πρὸ τῆς ἐμφανίσεως τῶν μεταπτωτικῶν φαινομένων ἐν τοῖς βορείοις ἰδιώμασι. Μετὰ ταῦτα ὁμιλήσας περὶ τοῦ τῆς Χαλκιδικῆς ἰδιώματος παρετήρησεν ὅτι τοῦτο διακρίνεται διὰ τὴν πληθὺν τῶν ἀρχαίων λέξεων· π. χ. *ἀβγιοῦμι* (=ἀφηγοῦμαι), *γαστέρα* (=φιάλη) *δουκῶ* (=ὑπομιμνήσκω), *δ'ναστεύω* (=δυναστεύω, προσπαθῶ, ἀκμάζω, προοδεύω), *ἡδύσματα* (=τὰ κατὰ την μνηστείαν ἀνταλασσόμενα δῶρα), *στ'χῶ* (=γίνομαι, ὑπηρέτης) *τεκνώνου* (=τεκνόνω), *τρίγουνου* (=τρισέγγονος) κ.τ.τ. Ὡς πρὸς τὴν φωνητικὴν παρετήρησεν ὅτι ἐνίοτε ἀποβάλλεται τὸ μὲν ἐκ μεταπτώσεως νόθον ι μόνον ὅταν εἶναι εὐθὺς πρότονον ἢ ἐπίτονον π.χ. *παιδὶ* - *πιδὶ* - *πδὶ*, *κουρεμένους* - *κουριμένους* - *κουρμένους*, τὸ δὲ νόθον -ου- ἐνίοτε ἀποβάλλεται ὡσεὶ προῆλθεν ἐκ μεταπτώσεως, ἐνῷ τοῦτο πράγματι προϋπῆρχε τῆς ἐμφανίσεως τῶν μεταπτωτικῶν φαινομένων. Ἡ γνῶσις δὲ τοῦ τελευταίου τούτου φαινομένου εἶναι σπουδαία διὰ τὴ

δι' αὐτῆς ἐξεύρεσιν τοῦ ἐτύμου λέξεων ἐκ πρώτης ὄψεως ἀσαφῶν· π.χ. τὸ σχοινίον δι' οὗ δένονται δύο βόες ἐκ τῶν κεράτων ἵνα συμβαδίζωσι λέγεται *κιραζύι* καὶ *κιρατζῆς* προελθὸν ἐκ τοῦ *κερατοζύγι* - κιρατουζύγι - κιρατ'ζύι - κιραζύι. Ὡσαύτως παρετήρησε διάκρισιν τῶν φωνηέντων εἰς μακρὰ καὶ βραχέα, τῶν μὲν τονουμένων ἐκφερομένων διὰ μακροῦ χρόνου, ὡς *βράαζ*, *κράαζ*, *φέερς*, *τρέεχ'ς* κ.τ.τ., τῶν δ' ἀτόνων διὰ βραχέως. Ἐν τέλει ἐτόνισεν ὅτι ἀξία ἰδίας παρατηρήσεως εἶναι ἡ ἀνάπτυξις τοῦ φθόγγου i πρὸ τοῦ τονουμένου e ἐν ἀρχῇ καὶ μέσῳ τῆς λέξεως π.χ. *iένας*, *iέβγαλα*, *iέφαγα*, *iέγραψα*, *φiεύγου*, *γλiέπου τρανiεύου*. κ.τ.τ. Συνέστησε δὲ τὴν διὰ τοῦ η γραφὴν τοῦ φθόγγου τούτου ἅτε προελθόντος ἐκ τοῦ ἀορίστου κατ' ἐπέκτασιν· π.χ. ἐκ τῶν τύπων ἤρρ'ξα + ἔρρ'ξα προῆλθεν ὁ *ἠέρρ'ξα*.

Μετὰ τοῦτον ὁ πρόεδρος κ. Γ. Ν. Χατζιδάκις λαβὼν ἀφορμὴν ἐκ τῆς νεωστὶ προταθείσης ἐτυμολογίας τοῦ ῥ. *ξέρω* ἐκ τοῦ ἐξαίρω ἐδίδαξεν ὅτι τοῦτο διὰ λόγους ἱστορικοὺς καὶ φωνητικοὺς εἶναι ἀδύνατον· τὸ δ' ἀληθὲς εἶναι ὅτι ἐκ τοῦ ἠξεύρω τοῦ εὑρισκομένου ἤδη τὸν ιβ' αἰῶνα, παρὰ τῷ Θεοδώρῳ Προδρόμῳ καὶ τῷ Μιχαὴλ Γλυκᾷ ἐσχηματίσθη *τὸ ξέρω* κατ' ἀνομοίωσιν ἐκ φράσεων οἷα ἡ: *ξεύρεις βρὲ* κ.λ.π.

Μεθ' ὃ ἐλύθη ἡ συνεδρία

Ὁ Πρόεδρος κ. ἀ. α.	*Ὁ Γραμματεὺς κ. ἀ. α.*
Α. Ν. ΣΚΙΑΣ	Π. Α. ΦΟΥΓΡΙΚΗΣ

Συνεδρία ΣΟΕ' τῆς 28ης Μαρτίου 1921.

Συνελθόντων τῶν ἑταίρων ἐν τῇ Σιναίᾳ Ἀκαδημείᾳ εἰς τακτικὴν συνεδρίαν ὑπὸ τὴν προεδρίαν τοῦ κ. Ἀνδρέου Ν. Σκιᾶ ἀναπληρώσαντος τὸν κωλυθέντα τακτικὸν πρόεδρον κ. Γ. Ν. Χατζιδάκιν ὁ ἑταῖρος κ. Κωνσταντῖνος Ἄμαντος ὡμίλησεν ἐν γενικαῖς γραμμαῖς περὶ τοῦ βίου καὶ τῶν ἐκδοθέντων ἔργων τοῦ Παχωμίου Ρουσάνου, τονίσας τὸ πολεμικὸν τοῦ χαρακτῆρος τοῦ ἀνδρὸς καὶ τὴν πρωτοτυπίαν τῶν παρα-

τηρήσεων αὐτοῦ, εἰς ἃς ὀφείλομεν καὶ λαογραφικὰς καὶ γλωσσικὰς παρατηρήσεις πλείστας ὅσας.

Μετὰ τοῦτον ὁ ἑταῖρος κ. Πέτρος Φουρίκης ἀνασκοπίσας πάσας τὰς μέχρι τοῦδε προταθείσας ἐτυμολογίας τοῦ ὀνόματος *Σούλι* ὑπεστήριξεν ὅτι τὸ ἔτυμον τῆς λέξεως δέον ν' ἀναζητηθῇ εἰς τὴν ἀλβανικὴν λέξιν *σούλ-ι* τὴν δηλοῦσαν *δοκόν, πάσαλον, ἱστόν*, ἀλλὰ καὶ *σκοπιάν*.

Μεθ' ὃ ἐλύθη ἡ συνεδρία.

Ὁ Πρόεδρος	*Ὁ Γραμματεὺς κ. ἀ. α.*
Γ. Ν. ΧΑΤΖΙΔΑΚΙΣ	Π. Α. ΦΟΥΡΙΚΗΣ

Συνεδρία ΣΟϚ' τῆς 9ης Μαΐου 1921.

